# ΑΚΟΛΟΥΘΙΑ

ΤΟΥ

## ΤΙΜΙΟΥ ΚΑΙ ΖΩΟΠΟΙΟΥ ΣΤΑΥΡΟΥ

Ἐν ᾗ καὶ δύο παρακλητικοὶ Κανόνες

ΤΟΥ ΑΥΤΟΥ

Ψαλλομένη ἐν ταῖς παρακλήσεσι καὶ ἐν τῇ τῆς Ὑψώσεως ἡμέρᾳ ΙΔ΄. Σεπτεμβρίου

Ἐκδοθεῖσα, ἐπιμελείᾳ μὲν

**Α. ΠΑΝΔΗ ΑΡΧΙΔΙΑΚΟΝΟΥ**

Δαπάνῃ δὲ

Α. ΤΕΡΖΑΚΗ

*Ἀδείᾳ τοῦ Προϊσταμένου τῆς Ἐκκλησίας.*

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΙΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

**ΕΝ ΚΕΡΚΥΡᾼ,**

ΤΥΠΟΓΡΑΦΕΙΟΝ ΕΡΜΗΣ

Α. Τερζάκη καὶ Θ. Ῥωμαίου.

**1854.**

# Τῷ Ὀρθοδόξῳ Πληρώματι.

Ἐπειδὴ οἴδαμεν πολλὰς ἁγίων ἀκολουθίας κατὰ διαφόρους καιροὺς ἐκδοθείσας, καὶ ὑπὸ τοῦ τῶν Ὀρθοδόξων πληρώματος προθύμως ἀσπασθείσας, συνελάβομεν τὸν οὐχὶ ἴσως ἀνωφελῆ σκοπὸν, ὅπως εἰς ἓν συνάψωμεν πᾶν τὸ τὴν δέουσαν ἀκολουθίαν τοῦ Τιμίου καὶ Ζωοποιοῦ Σταυροῦ ἀπαρτίζον, ἵνα προχείρως ἔχωσιν αὐτὴν οὐ μόνον οἱ κληρικοὶ, ἀλλὰ καὶ πᾶς ὀρθόδοξος Χριστιανὸς, χωρὶς νὰ ἀνατρέχῃ εἰς τὰ τῆς Ἐκκλησίας Μηναῖα, ὧν τινων τυχὸν στερεῖται. Ἐπειδὴ δὲ κατὰ τὰς ἡμέρας τῆς δεκατετραημέρου νηστείας τοῦ Τιμίου Σταυροῦ ἀναγινώσκονται αἱ παρακλήσεις τοῦ αὐτοῦ, κατ' αὐτὰς δὲ ψάλλονται συνηθεστέρως (α) δύο κανόνες παρακλητικοὶ, (β) ἐξ ὧν εἷς μέν ἐστι Νικηφόρου Ἱερομονάχου Ῥωδίου τοῦ ἐκ Κρήτης, καὶ οὗτος κατὰ τὸ «Ὑγρὰν διοδεύσας» κτλ. ὁ δὲ ἕτερος Νικολάου Ἱερομονάχου Γαβριηλοπούλου τοῦ ἐκ Ζακύνθου, κατὰ τὸ «Ἁρματηλάτην Φαραὼ,» τούτου ἕνεκα, καὶ πρὸς περισσοτέραν εὐκολίαν, ἐκρίναμεν καλὸν καὶ τούτους νὰ ἐπισυνάψωμεν εἰς τὴν ἀκολουθίαν ταύτην, καθὼς καὶ τοὺς εἰκοσιτέσσαρας Οἴκους τοῦ Τιμίου καὶ Ζωοποιοῦ Σταυροῦ. Προσεπαθήσαμεν δὲ, ὅσον δυνατὸν ἦν, νὰ διορθώσωμεν τοὺς ῥηθέντας κανόνας ἀπό τε τὰ τυπογραφικὰ ἢ τῶν ἀντιγραφέων λάθη, ἐξ ὧν προέκυψαν καὶ μετρικὰ ἁμαρτήματα οὐκ ὀλίγα, καὶ ἐσφαλμένα νοήματα· μὴ ἔχοντες δὲ ἀναχεῖρας εἰμὴ ἐφθαρμένα, καὶ ἀλλήλοις διαφέροντα χειρόγραφα, μεθ' ἑνὸς ἐπίσης κατημαρτημένου ἐντύπου, ἐτολμήσαμεν ποιῆσαι τὴν δυνατὴν διόρθωσιν, διατη-

(α) Ἐν Κερκύρᾳ μάλιστα οὐδόλως ἐθίζεται ὁ ἐν τῷ Ὡρολογίῳ κανών· πλὴν ἔδει, τοὐλάχιστον, ν' ἀναγινώσκηται κατὰ τὰς ἡμέρας καθ' ἃς οἱ Οἶκοι τοῦ Σταυροῦ ψάλλονται.

(β) Οὗτοι οἱ δύο παρακλητικοὶ κανόνες, καθόσον ἡμεῖς γινώσκομεν, μέχρι τοῦδε σχεδὸν ἦσαν χειρόγραφοι καὶ διὰ τῶν χειρογράφων ἐψάλλοντο· ὅθεν δύναται ἕκαστος νὰ συμπεράνῃ τῶν ἀντιγραφέων τὰ λάθη πόσα καὶ ὁποῖα. Ἐσχάτως τῷ 1852 ἐξεδόθησαν μόνοι ἐν Κεφαλληνίᾳ, ἀλλ' ἀπαραλάκτως μεθ' ὅλης τῆς πληθύος τῶν σφαλμάτων, ἤτοι, ἀδιορθώτως· ὥστε καθίσανται ὀλίγον χρήσιμοι καὶ σχεδὸν ἀνωφελεῖς.

ρήσαντες τοῦ ποιητοῦ τὴν ὑφὴν ὅπου τὸ μέτρον τοῦ εἱρμοῦ ἐπέτρεπε τοῦτο.

Μετὰ τοὺς παρακλητικοὺς τούτους κανόνας καὶ τοὺς οἰκοσιτέσσαρας Οἴκους, ἀκολουθεῖ ἡ λοιπὴ τάξις τῆς ὅλης ἀκολουθίας τῆς μεγίστης ταύτης ἑορτῆς διὰ τοὺς Ὀρθοδόξους, καθ' ἣν ὁ Τίμιος τοῦ Σωτῆρος Σταυρὸς ἀνεφανίσθη ἡμῖν· ἤγουν, ὁ μέγας Ἑσπερινὸς καὶ ὁ Ὄρθρος· τὰ λοιπὰ δὲ ὅσα προηγγοῦνται ἢ παρέπονται τῇ ἑορτῇ, καθὼς καὶ τὸν μικρὸν Ἑσπερινὸν, παρελείψαμεν, ἵνα μὴ τὸ ἔργον γίνῃ πολὺ ὀγκῶδες, τῷ βουλομένῳ, ὅπως ζητήσῃ αὐτὰ ἐν τοῖς Μηναίοις κτλ. Ἐπειδὴ δὲ ἡ εὕρεσις τοῦ Ζωηφόρου Ξύλου, ἐστὶν ἑορτὴ παρ' ὅλης τῆς Ὀρθοδόξου Ἐκκλησίας εὐσήμως τηρουμένη, διὰ τοῦτο νομίζομεν, ὅτι τὸ παρὸν τεῦχος θέλει εἶσθαι τοῖς πᾶσι πρόχειρον καὶ ὠφέλιμον.

Δέξασθε λοιπὸν ἀδελφοὶ καὶ Πατέρες, τὸ παρὸν μετὰ τῆς διαβεβαιώσεως ἡμῶν, ὅτι οὐδεὶς ἕτερος εἰς τοῦτο παρεκίνησεν ἡμᾶς σκοπὸς, ἢ τῆς φιλογενείας τὸ αἴσθημα, καὶ ἡ πρὸς τὸν Τίμιον Σταυρὸν ἀκραιφνὴς εὐλάβειά καὶ ὁ εὐσεβὴς ἔρως!

Ἔῤῥωσθε.

Ὁ Ἐκδότης.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

## ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ

ΕΙΣ ΤΟΝ

# ΤΙΜΙΟΝ ΚΑΙ ΖΩΟΠΟΙΟΝ ΣΤΑΥΡΟΝ

ποίημα

ΝΙΚΗΦΟΡΟΥ ΙΕΡΟΜΟΝΑΧΟΥ ΡΩΔΙΟΥ ΤΟΥ ΚΡΗΤΟΣ.

Ὁ Ἱερεὺς ποιεῖ εὐλογητόν.

Κύριε εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου, εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου. Καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν.

Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου· ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος, καὶ ἠκηδίασεν ἐπ' ἐμὲ τὸ πνεῦμά μου.

Ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου. Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων. Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου.

Ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι. Ταχὺ εἰσάκουσόν μου Κύριε, ἐξέλειπε τὸ πνεῦμά μου. Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.

Ἀκουστὸν ποίησόν μοι τὸ πρωῒ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα. Γνώρισόν μοι Κύριε ὁδὸν ἐν ᾗ πορεύ-

σομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου. Ἐξελοῦμε ἐκ τῶν ἐχθρῶν μου.

Κύριε πρὸς σὲ κατέφυγον. δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημάσου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Τὸ Πνεῦμάσου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ. Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα, δόξα σοι ὁ Θεός.

**Αἴτησις, καὶ Ἐκφώνησις παρὰ τοῦ Ἱερέως. Ὅτι σὸν τὸ κράτος.**

**Ἦχος δ'.**

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

**Δίς.**

**Εἶτα Τροπάριον, πρὸς τὸ, Τῇ Θεοτόκῳ ἐκτενῶς.**

**Ἦχος δ'.**

Τῷ ζωηφόρῳ νυν Σταυρῷ προσπελάσωμεν, οἱ μακρυνθέντες τοῖς κακοῖς καὶ προσψαύσωμεν, ἐν ἐπιστρόφῳ λέγοντες καρδίᾳ πιστῶς, πρόφθασον, βοήθησον, ὁ Σταυρὸς τοῦ Κυρίου, φάνηθι λυτρούμενος ἐκ παντοίων κινδύνων· μὴ ἐποφθῶμεν ἄπρακτα αἰτεῖν· τὴν σὴν γὰρ σκέπην, βεβαίαν ἐλπίζομεν.

**Δόξα. καὶ νῦν.**

Οὐ δυνησόμεθα, Σταυρὲ τοῦ Κυρίου, τὰ σὰ θαυμάσια ὑμνεῖν οἱ κατάκριτοι, εἰμὴ γὰρ σὺ παρέχεις τὰ δωρήματα, τίς ἡμῖν τὴν ἴασιν, τῶν τοῦ σώματος νόσων,



τίς δὲ καὶ τὴν κάθαρσιν τῶν ψυχῶν ἐδωρεῖτο; οὐ μακρυνθῶμεν πώποτε ἐκ σοῦ, σὺ γὰρ σκέπεις πάντας πιστοὺς, ἐκ παντοίων κακῶν.

**Εἶτα τὸν Ν'. Ψαλμόν· καὶ μετὰ τὸν Πεντηκοστὸν, ἀρχόμεθα τοῦ Κανόνος τοῦ τιμίου Σταυροῦ.**

**Ποίημα**

**Νικηφόρου Ἱερομονάχου Ῥωδίου τοῦ Κρητός.**

**Ὠδὴ α'. Ἦχος πλ: δ'. Ὑγρὰν διοδεύσας.**

**λέγοντες εἰς ἕκαστον Τροπάριον,**

**Σταυρὲ τοῦ Χριστοῦ σκέπε ἡμᾶς.**

Σταυρὲ σκῆπτρον ἅγιον τοῦ Χριστοῦ, τοὺς σὲ προσκυνοῦντας, καταξίωσον Βασιλεῖ, Θεῷ τε καὶ Κτίστῃ ὑπακούειν, καὶ ὑπ' αὐτοῦ προστατεύεσθαι πάντοτε.

**Σταυρὲ τοῦ Χριστοῦ.**

Σταυρὲ ξύλον ἅγιον καὶ σεπτὸν, τοὺς ἐν εὐλαβείᾳ, προσκυνοῦντας τὴν ἱερὰν, σκέπην σου ἀτρώτους ἀπὸ βλάβης, καὶ πειρασμῶν καὶ κινδύνων διάσωσον.

**Δόξα Πατρί.**

Σταυρὲ ἡ βοήθεια τῶν Πιστῶν, δίδου βοηθίαν, τοῖς ὑμνοῦσι τὸ ἱερὸν, κράτος σου καὶ αἴρειν τὰ βραβεῖα, κατὰ παθῶν ψυχοφθόρων ἐνίσχυσον.

**Καὶ νῦν. Θεοτοκίον.**

Σταυρὸν καθορῶσα, ἀμνὰς Ἁγνὴ, τοῦ ἁγνῶς τεχθέντος, ἀνεβόα θρηνῳδικῶς, Πιστῶν θειογόνος σωτηρία, καὶ κραταιὰ προστασία καὶ στήριγμα.

**Ὠδὴ γ'. Οὐρανίας ἀψῖδος**

**Σταυρὲ τοῦ Χριστοῦ.**

Ὁ Σταυρὸς τοῦ Κυρίου, χαῖρε πιστῶν καύχημα, χαῖρε κραταιὰ προστασία, χαῖρε παράκλησις, τοὺς

προσκυνοῦντάς σε, ἐκ περιστάσεως ῥῦσαι, καὶ δεινῆς κακώσεως, καὶ πάσης θλίψεως.

Σταυρὲ τοῦ Χριστοῦ.

Ὁ Σταυρός τοῦ Σωτῆρος, χαῖρε στεῤῥὸν ἔρεισμα, χαῖρε τῶν ὑμνούντων σε φύλαξ, χαῖρε προπύργιον, τοὺς προσκυνοῦντάς σε, ἐκ τῶν τοῦ βίου σκανδάλων, ῥῦσαι καὶ διάσωσον, θείᾳ δυνάμει σου.

Δόξα.

Ὁ Σταυρός τοῦ Δεσπότου, χαῖρε νεκρῶν ἔγερσις, χαῖρε ἀσθενούντων ἡ ῥῶσις, χαῖρε ἀντίληψις, τοὺς προσκυνοῦντάς σε, φύλαττε φρούρει καὶ σκέπε, ἐκ τῶν ὁρωμένων τε, καὶ ἀοράτων ἐχθρῶν.

Καὶ νῦν. Θεοτοκίον.

Ὁ Σταυρὸς τοῦ Υἱοῦ σου, παρθενικὸν καύχημα, πᾶσί σου τὸν τόκον ὑμνοῦσι, δύναμις πέφυκεν, οὗ ἡ προσκύνησις, καὶ τὸ πρὸς σὲ καταφεύγειν, πάθη θεραπεύουσι ψυχῆς καὶ σώματος.

Διάσωσον Σταυρὲ Κυρίου, τὴν ποίμνην σου ἀπὸ βλάβης, ὅτι πάντες ἐν σοὶ καυχώμεθα, καὶ γινώσκομεν τὴν σκέπην σου, κράτος καὶ σωτηρίαν.

Ἐπίσκεπε τῇ σῇ δυνάμει, τοὺς πίστει σε προσκυνοῦντας, Τίμιε Σταυρὲ, ἐξ ἐχθρῶν παντοίας κακώσεως, καὶ δίωξον τὰς αὐτῶν κακουχίας.

Αἴτησις παρὰ τοῦ Ἱερέως, καὶ Ἐκφώνησις.

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος.

Καὶ λέγομεν τὰ παρόντα Τροπάρια.

Ἦχος πλ: δ'. Τὴν σοφίαν καὶ Λόγον.

Ζωοπάροχον Ξύλον Σταυρὲ Χριστοῦ, τὴν ψυχήν μου θανοῦσαν ταῖς προσβολαῖς, ζώωσον κράζω σοι, καὶ



συγγνώμην μοι δώρησαι, τῶν ἀμέτρων πταισμάτων, ὁ τάλας ὧν ἔπραξα ἐκ νεότητος, ἄχρι τῆς ὥρας ἧς δέομαι, οἴμοι! τίς τοῦ φόβου ἀπαλλάξει με τότε, ἡνίκα χωρίζεται ἡ ψυχὴ ἐκ τοῦ σώματος; φοβερὰ ἡ ἐνθύμησις! τότε φάνηθι παρήγορός μοι Σταυρὲ, καὶ τοὺς δαίμονας σκόρπισον, σὲ γὰρ ἔχω μεσίτην, εἰς Θεὸν ὃν ἐβάστασας.

Δόξα, καὶ νῦν.

Ἐνθυμοῦμαι τὴν κρίσιν καὶ δειλιῶ, τὴν ἐξέτασιν τρέμω τὴν φοβερὰν, φρίττω τὴν ἀπόφασιν καὶ πτοοῦμαι τὴν κόλασιν, τὴν τοῦ πυρὸς ὀδύνην, τὸ σκότος τὸν τάρταρον. οἴμοι! τί ποιήσω ἐν ἐκείνῃ τῇ ὥρα, ὅταν τίθωνται θρόνοι, καὶ βίβλοι ἀνοίγωνται, καὶ αἱ πράξεις ἐλέγχωνται; τότε Δέσποινα βοήθειά μοι γενοῦ, καὶ προστάτης θερμότατος· σὲ γὰρ ἔχω ἐλπίδα, ὁ ἀνάξιος δοῦλός σου.

Ὠδὴ δ'. Εἰσακήκοα Κύριε.

Σταυρὲ τοῦ Χριστοῦ.

Ὁ Σταυρὸς ὁ πανάγιος, πᾶσι τοῖς ὑμνοῦσιν αὐτὸν τὴν ἴασιν, καὶ πταισμάτων ἀπολύτρωσιν, ἐμφανῶς ὁρᾶται χαριζόμενος.

Σταυρὲ τοῦ Χριστοῦ.

Τῶν ἀμέτρων πταισμάτων μου, ῥοῦν τὸν θολερώτατον ἀποξήρανον, ὁ βαστάσας τὸν ξηράναντα, ἀθεΐαν ὅλην Σταυρὲ τίμιε.

Δόξα.

Ἁμαρτίαις συμπέφυρμαι, καὶ ἐκ τούτων ἦλθον εἰς ἀλλεπάλληλον, ἀῤῥωστίαν ὅθεν κράζω σοι· ἄμφω τὰς ἰάσεις Σταυρὲ δώρησαι.

Καὶ νῦν. Θεοτοκίον.

Οἱ Σταυρὸν καὶ τὴν Ἄχραντον, ἔχοντες ἐλπίδα οὐκ αἰσχυνθήσονται, ἡ πρεσβεία γὰρ καὶ δύναμις, τῆς μητρὸς καὶ σκήπτρου, σφόδρα δύναντει.

Ὠδὴ έ. Φώτισον ἡμᾶς.

Σταυρὲ τοῦ Χριστοῦ.

Γλύκανον ἡμῶν, τὴν πικρίαν τὴν τῶν θλίψεων, Σταυρὲ Κυρίου, ὁ πάλαι τῆς Μερρᾶς, πικρῶν ὑδάτων, τὴν πικρίαν ἰασάμενος.

Σταυρὲ τοῦ Χριστοῦ.

Σκέπασον ἡμᾶς, τῇ δυνάμει σου πανάγιε, Σταυρὲ Κυρίου, ἐν σοὶ γὰρ τοῦ Πατρὸς, ἰσχὺς ἐπήρθη, τὸ σὸν κράτος ἐνισχύουσα.

Δόξα.

Δίωξον ἡμῶν, ἅπαν ἄλγος τε καὶ κάκωσιν, καὶ σκυθρωπότητα ἐκ τῶν καρδιῶν· Σταυρὲ Κυρίου, δέδοταί σοι γὰρ τὸ δύνασθαι.

Καὶ νῦν. Θεοτοκίον.

Ἔχομεν πιστοὶ, προστασίαν πρὸς τὸν Κύριον, τὴν Παναγίαν Παρθένον καὶ τὸν Σταυρὸν, ὧν καταπλήττει, καὶ τοὺς δαίμονας ἡ δύναμις.

Ὠδὴ ς'. Τὴν δέησιν ἐκχεῶ.

Σταυρὲ τοῦ Χριστοῦ.

Τὸ ὅπλον τῶν Βασιλέων ὑμνῶ σε, τὴν στολὴν τῶν Ἱερέων ὑφῶ σε, Χριστιανῶν, τὴν ἐλπίδα ἁπάντων, ὑμνολογῶ σε Σταυρὲ παμμακάριστε, τὸ καύχημα κἀμοῦ τοῦ σοῦ, δούλου ὅς σε ὡς ὅπλον ἀμπέχομαι.

Σταυρὲ τοῦ Χριστοῦ.

Σὲ σκέπην, Χριστιανοὶ γινώσκομεν, καὶ καυχώμεθα ἐν σοὶ ξύλον Θεῖον, εἰς πάντα γὰρ, σὲ εὑρίσκομεν



κράτος, καὶ παντελῆ σωτηρίαν καὶ σύμμαχον· τὴν χάριν σου ὅθεν ἡμῖν, τοῖς ὑμνοῦσί σε πόθῳ κατάπεμψον.

Δόξα.

Ὁ Κύριος, ἰσχυρὸν ἡμῖν τεῖχος, καὶ προστάτην καὶ φρουρόν σε παρέσχε, καὶ γὰρ ἐν σοὶ, ἐναντίων δυνάμεις, ἐξηφανίσθησαν σθένει τοῦ κράτους σου· ὡς ἔχων οὖν πᾶσαν ἰσχὺν, ἀσθενοῦντας ἡμᾶς ἰσχὺν ἔνδυσον.

Καὶ νῦν. Θεοτοκίον.

Σωτῆράς μου, ἐπιγράφομαι πόθῳ, τοὺς τὸν Κτίστην ἐν σαρκὶ δεξαμένους, τὴν μὲν Ἁγνὴν, ὡς ζωὴν ἀφθαρτοῦσαν, τὸν δὲ Σταυρὸν ὡς νεκροῖς ζωοπάροχον· ἐγέρσει οὖν ζωοποιῷ, ὁ Σταυρός καὶ ἡ Κόρη ζωώσατε.

Διάσωσον Σταυρὲ Κυρίου, τὴν ποίμνην σου ἀπὸ βλάβης, ὅτι πάντες ἐν σοὶ καυχώμεθα, καὶ γινώσκομεν τὴν σκέπην σου, κράτος καὶ σωτηρίαν.

Ἐπίσκεπε τῇ σῇ δυνάμει, τοὺς πίστει σε προσκυνοῦντας, τίμιε Σταυρὲ, ἐξ ἐχθρῶν παντοίας κακώσεως, καὶ δίωξον, τὰς αὐτῶν κακουχίας.

Αἴτησις παρὰ τοῦ Ἱερέως· καὶ μετὰ
τὴν Ἐφώνησιν, Σὺ γὰρ εἶ ὁ Βασιλεὺς,
Τὸ παρὸν Τροπάριον.

Ἦχος β'. Τὰ ἄνω ζητῶν.

Τὸ ξύλον ζωῆς, καὶ δύναμις ὑπέροπλος, ἐλπὶς τῶν Πιστῶν, καὶ σκέπη καὶ κραταίωμα, ἐκ ψυχῆς βοῶμέν σοι, Σταυρὲ Κυρίου φύλαξ φάνηθι, καὶ ἐκ σκανδάλων τῶν τοῦ πονηροῦ, προφθάσας ῥῦσαι ἡμᾶς τοὺς ὑμνοῦντάς σε.

Εἶτα οἱ Ἀναβαθμοί. τὸ ά. Ἀντίφ. τοῦ δ'. ἤχου.

Ἐκ νεότητός μου πολλὰ πολεμεῖ με πάθη, ἀλλ' αὐτὸς ἀντιλαβοῦ, καὶ σῶσον Σωτήρ μου.

Οἱ μισοῦντες Σιὼν αἰσχύνθητε ἀπὸ τοῦ Κυρίου, ὡς χόρτος γὰρ, πυρὶ ἔσεσθε ἀπεξηραμμένοι.

Δόξα.

Ἁγίῳ Πνεύματι, πᾶσα ψυχὴ ζωοῦται, καὶ καθάρσει ὑψοῦται λαμπρύνεται, τῇ τριαδικῇ Μονάδι, ἱεροκρυφίως.

Καὶ νῦν.

Ἁγίῳ Πνεύματι, ἀναβλύζει τὰ τῆς χάριτος ῥεῖθρα ἀρδεύοντα, ἅπασαν τὴν κτίσιν, πρὸς ζωογονίαν.

Καὶ εὐθὺς τὸ, Προκείμενον, ἦχος δ'.

Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν, καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ, ὅτι ἅγιός ἐστιν.

Ὁ δὲ Θεὸς Βασιλεὺς ἡμῶν, πρὸ αἰώνων εἰργάσατο σωτηρίαν, ἐν μέσῳ τῆς γῆς.

Τοῦ Κυρίου δεηθῶμεν.

Ἐκφώνησις.

Ὅτι ἅγιος εἶ ὁ Θεὸς ἡμῶν, καὶ ἐν ἁγίοις ἐπαναπαύῃ. κ.τ.λ.

Τὸ Πᾶσα πνοή.

Εἶτα, Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι κ.τ.λ.

Εὐαγγέλιον, κατὰ Ἰωάννην.

Εἶπεν ὁ Κύριος, οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανὸν, εἰμὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβὰς, ὁ Υἱὸς τοῦ ἀνθρώπου, ὁ ὢν ἐν τῷ οὐρανῷ. Καὶ καθὼς Μωσῆς ὕψωσε τὸν ὄφιν ἐν τῇ ἐρήμῳ, οὕτως ὑψωθῆναι δεῖ τὸν Υἱὸν τοῦ ἀνθρώπου, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον. Οὕτω γὰρ ἠγάπησεν ὁ Θεὸς τὸν Κόσμον, ὥστε τὸν Υἱὸν αὐτοῦ τὸν μονογενῆ ἔδωκεν, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον. Οὐ γὰρ ἀπέστειλεν ὁ Θεὸς τὸν Υἱὸν αὐτοῦ εἰς τὸν Κόσμον, ἵνα κρίνῃ τὸν Κόσμον, ἀλλ' ἵνα σωθῇ ὁ Κόσμος δι' αὐτοῦ.



Εἶτα. Δόξα.

Τῇ τοῦ Θείου Σταυροῦ σου δυνάμει ἐλεήμων, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν. Θεοτοκίον.

Ταῖς τῆς Θεοτόκου πρεσβείαις ἐλεήμων, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Εἶτα. Ἐλεησόν με ὁ Θεός.

Καὶ ψάλλομεν τὸ ἀκόλουθον Τροπάριον.

Ἦχος β'.

Σύ μου σκέπη κραταιὰ ὑπάρχεις ὁ τριμερὴς Σταυρὸς τοῦ Χριστοῦ, ἁγίασόν με, τῇ δυνάμει σου· ἵνα πίστει καὶ πόθῳ, προσκυνῶ καὶ δοξάζω σε.

Ὁ Ἱερεύς. Σῶσον ὁ Θεὸς τὸν λαόν σου.

Τὸ Κύριε ἐλέησον ιβ'. καὶ ἐκφώνησις.

Ἐλέει καὶ οἰκτιρμοῖς. κ.τ.λ.

Ὠδὴ ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.

Σταυρὲ τοῦ Χριστοῦ.

Τὸ κράτος τοῦ θανάτου τεθανάτωται πάλαι, τῇ κρεμασθείσῃ ζωῇ, ὦ Σταυρὲ ζωηφόρε, φυγαδευτὰ θανάτου, ἱκετεύω κραυγάζων σοι, ἐκ τῶν θανατούντων με παθῶν, ῥῦσαι καὶ σῶσον.

Σταυρὲ τοῦ Χριστοῦ.

Τὴν βροτῶν σωτηρίαν ὁ Σωτὴρ ἠβουλήθη, ἀνεπεργάσασθαι, ἐν ξύλῳ ζωηφόρῳ, διδοὺς τοῖς σωζομένοις, μελῳδεῖν τὰ σωτήρια· χαῖρε Σταυρὲ τοῦ Χριστοῦ, ψυχῶν, ἁπάντων ῥύστης.

Δόξα.

Τοῦ Ξύλου τῆς κατάρας οἱ τρυφήσαντες εὗρον, τοὺς ἐφεσίμους ἐν σοὶ, ἐκτάσει εὐλογίας, χειρῶν τῶν τοῦ

Δεσπότου, διὸ πάντες σοὶ κράζομεν, τὴν εὐλογίαν Σταυρὲ, δίδου τοῖς σὲ τιμῶσι.

Καὶ νῦν. Θεοτ.

Καυχῶμαι τὴν δυάδα προβαλλόμενος πρέσβεις, πρὸς τὸν Σωτῆρα Χριστὸν, Μητέρα καὶ τὸ σκῆπτρον, ἰσχύει γὰρ ἡ Μήτηρ, καὶ τὸ σκῆπτρον κρατύνει με· χαῖρε ὦ σκῆπτρον Χριστοῦ, χαῖρε ὦ Μῆτερ Θεοῦ.

Ὠδὴ η'. Τὸν Βασιλέα.

Σταυρὲ τοῦ Χριστοῦ.

Τοὺς προσκυνοῦντάς σε τὸν Σταυρὸν διατήρει, πειρασμῶν καὶ κινδύνων ἀτρώτους, εἶ γὰρ ὄντως σκέπη, φρουροῦσα πιστοὺς πάντας.

Σταυρὲ τοῦ Χριστοῦ.

Τὰς ἀῤῥωστίας τὰς τῆς σαρκὸς ἰατρεύεις, καὶ σπιλάδας ψυχῶν ἐκκαθαίρεις, ὅθεν σὲ ὑμνοῦμεν, Σταυρὸν τὸν τοῦ Κυρίου.

Δόξα.

Τοὺς σημειοῦντας ἐφ' ἑαυτοὺς τὸ σημεῖον, Σοῦ Σταυρὲ τῶν παγίδων τοῦ σκότους, λύτρωσαι καὶ σῶσον, σεπτῇ τῇ Σῇ σφραγῖδι.

Καὶ νῦν. Θεοτοκίον.

Τοῦ Βασιλέως τῶν Οὐρανῶν τὴν Μητέρα, καὶ Σταυρὸν τοῦ Σωτῆρος ἐν πίστει, πάντες προσκυνοῦμεν, ὥςπερ κοινοὺς προστάτας.

Ὠδὴ θ'. Κυρίως Θεοτόκον.

Σταυρὲ τοῦ Χριστοῦ.

Προσφέρω ἣν ἐκ πόθου, δέησιν καρδίας, δέξαι Σταυρὲ καὶ τὴν χάριν παράσχου ἐμοὶ, τῷ προσκυνοῦντί Σε πίστει, καὶ μεγαλύνοντι.



Σταυρὲ τοῦ Χριστοῦ.

Σημεῖον νικηφόρον, πάντες οἴδασί Σε, οἱ διὰ Σοῦ ἀθλοφόροι φανέντες Σταυρὲ, καὶ εὐλαβείᾳ τιμῶντες, καὶ μεγαλύνοντες.

Δόξα.

Τὸ χαῖρε τοῦτο τέλος, ἐλαχίστου ὕμνου, τοῦ ὑπὲρ Σοῦ Νικηφόρῳ ταχθέντος Σεπτὲ, δέξαι ἀσμένως Σταυρέ μου, καί με κραταίωσον.

Καὶ νῦν. Θεοτοκίον.

Οὐ θέλω σιωπῆσαι, τὰ τῆς Θεοτόκου, καὶ τὸν Σταυρὸν μὴ κηρύττειν ὃς σκέπει πιστοὺς, οὐ σιωπῶ ἀλλὰ λέγω, εἰ καὶ ἐσίγησα.

Καὶ εὐθὺς τό.

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, τοῦ δοξάζειν σε Σταυρὸν τὸν Θεῖον, τὸν ἀφθονοπάροχον καὶ ἀγαθόδωρον, καὶ τὸ σκῆπτρον τοῦ Θεοῦ ἡμῶν· τὸν ὑπεραρθέντα τῶν Χερουβίμ, καὶ τὸν ὑπεράνω ἀναβάντα τῶν Σεραφίμ· τὸν ὑπερβαλλόντως ἐν Κόσμῳ ὑψωθέντα, Σταυρὸν τὸν ζωηφόρον, Σὲ μεγαλύνομεν.

Τὸν ἐν γῇ κρυπτόμενον θησαυρὸν, σήμερον ὑψοῦντες ζωηφόρον Θεῖον Σταυρὸν, τοῦ Χρισοῦ τὸ σκῆπτρον, τὸ τῆς εἰρήνης ὅπλον, ἐν πίστει προσκυνοῦμεν κατασπαζόμενοι.

Ἐν ὑψώσει πρώτῃ τῇ τοῦ Σταυροῦ, πάσχοντος τοῦ Κτίστου ἠμαυροῦτο ὁ Οὐρανὸς, ἐν δὲ τῇ δευτέρᾳ καὶ γῆ φωτὸς πληροῦται, τὸ ζωηφόρον Ξύλον νῦν προσκυνήσωμεν.

Τοῦ Σταυροῦ τὸ Ξύλον πάντες πιςοὶ, δεῦτε ἀνυμνήσωμεν ὁρῶντες περιχαρῶς, αὐτὸ γὰρ καθεῖλε τὴν πλάνην τῶν Εἰδώλων, καὶ σώζει τοὺς πίστει δοξολογοῦντας Χριστόν.

Τὸν Σταυρὸν τὸν τίμιον τοῦ Χριστοῦ, σήμερον ἐκ πόθου προσκυνήσωμεν εὐλαβῶς, καὶ ἐν κατανύξει βοήσωμεν συμφώνως, Σταυρὲ ζωῆς τὸ Ξύλον πιστοὺς στερέωσον.

Η μυριοθρίαμβος καὶ λαμπρὰ, τοῦ Σταυροῦ σημαία νῦν προτίθεται τὰς αὐγὰς, τῆς καθ᾽ ᾅδου νίκης Χριστοῦ φωτοβολοῦσα, αὐτὴν πιστοὶ τιμῶντες κατασπασώμεθα.

Θέλων ἐσταυρώθης ὦ Λυτρωτὰ, καὶ ἐτραυματίσθης Ὑπεράγαθε δι᾽ ἐμὲ, καὶ λόγχῃ ἐτρώθης, τὴν ἄχραντον πλευράν σου, ὑμνῶ τὰ μεγαλεῖα τῆς Σῆς Θεότητος.

Τὴν ζωὴν ὁρῶσα ἐν τῷ Σταυρῷ, Κόρη κρεμμαμένην ἀνηλάλαζες μητρικῶς, τὴν τῶν Ἰουδαίων ἀπώλειαν θρηνοῦσα, τῶν μὴ ὁμολογούντων Θεὸν καὶ Κύριον.

Ὅταν δὲ λέγωνται οἱ Οἶκοι,
ψάλλεται ἀργῶς τὸ,
**Κοντάκιον.**

Ω τρισμακάριστε Σταυρὲ καὶ πανσεβάσμιε.
Σὲ προσκυνοῦμεν οἱ πιστοὶ καὶ μεγαλύνομεν.
Αγαλλόμενοι τῇ Θείᾳ σου ἀνυψώσει.
Ἀλλ᾽ ὡς τρόπαιον καὶ ὅπλον ἀπροσμάχητον.
Περιφρούρει τε καὶ σκέπε τῇ σῇ χάριτι.
Τοὺς σοὶ κράζοντας. Χαῖρε Ξύλον μακάριον.



Εἶτα τὸ Τρισάγιον. Δόξα. Καὶ νῦν.
Παναγία Τριάς. Πάτερ ἡμῶν.
Ὁ Ἱερεύς. Ὅτι σοῦ ἐστιν.
Μετὰ δὲ, τὰ Τροπάρια ταῦτα
ἦχος πλ: β'.
Πρὸς τὸ, Ἐλέησον ἡμᾶς Κύριε.

Τὸν ζωοποιὸν Σταυρὸν τῆς σῆς ἀγαθότητος, ὃν ἐδωρήσω ἡμῖν τοῖς ἀναξίοις Κύριε, σοὶ προσάγωμεν εἰς πρεσβείαν, σῶζε τοὺς Βασιλεῖς καὶ τὴν Πόλιν σου, εἰρηνεύοντας διὰ τῆς Θεοτόκου, μόνε φιλάνθρωπε.

Δόξα.

Τὸ Ξύλον ἤνεγκε φθορὰν ἐν Ἐδὲμ τῷ Γενάρχῃ, Σταυροῦ δὲ τὸ Ξύλον τὴν ζωὴν ἤνθησεν ἐν Κρανίῳ, πεπάτηται καὶ γὰρ κακία τοῦ ἐχθροῦ, ἠλέηται τῇ προσηλώσει τοῦ Χριστοῦ, καὶ εὗρε τὸν Παράδεισον κραυγάζων ὁ Ἀδὰμ, ὦ Ξύλον εὐλογημένον.

Καὶ νῦν.

Εν Ξύλῳ βλέπουσα νεκρὸν κρεμάμενον ἡ Παρθένος, Θεὸν ὃν ἔτεκε σαρκὶ, θρηνῳδοῦσα ἐβόα, τὴν ἄφατον μακροθυμίαν σου Υἱὲ ἐκπλήττομαι, πῶς ὡς κατάκριτον Σταυρῷ προσήλωσαν οἱ ἄνομοι τὸν δίκαιον Κριτὴν, καὶ μόνον σε Δεσπότην.

Ἐλέησον ἡμᾶς ὁ Θεός.
εἰς τὴν γ'. Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβῶν.
εἰς τὴν ς'. Ἔτι δεόμεθα ὑπὲρ τοῦ Ἀρχιεπισκόπου.
Ἔτι δεόμεθα ὑπὲρ τοῦ διαφυλαχθῆναι.
Ἔτι δεόμεθα ὑπὲρ ὑγείας τῶν Ἐπιτρόπων.
Ἐπάκουσον ἡμῶν ὁ Θεός. κ. τ. λ.

Εἶτα τὰ Ἐξαποστειλάρια.

Σταυρὸς ὁ φύλαξ πάσης τῆς οἰκουμένης.
Σταυρὸς ἡ ὡραιότης τῆς Ἐκκλησίας.

Σταυρὸς Βασιλέων τὸ κραταίωμα.
Σταυρὸς πιστῶν τὸ στήριγμα.
Σταυρὸς Ἀγγέλων ἡ δόξα.
Καὶ τῶν δαιμόνων τὸ Τραῦμα.

Ἀπόστολοι καὶ Προφῆται, καὶ Μάρτυρες σὺν Ὁσίοις, καὶ πλῆθος ἅπαν Ἁγίων, Σταυρὸν ἐν μέσῳ ὁρῶντες, χαίροντες λέγουσι πᾶσιν, οὗτος πιστῶν σωτηρία.

Τὰ θαύματα καὶ δυνάμεις, συναθροισθέντα ἐν Ξύλῳ, τῷ τοῦ Σταυροῦ ἐκβοῶσι, δεῦτε ἀρύσασθε χάριν· καὶ γὰρ ἐκχεῖται ἀφθόνως, τοῖς προσιοῦσιν ἐν πίστει.

Ὅταν φανῇς ἐν τῷ Κόσμῳ, ἐξ οὐρανοῦ μετὰ δόξης, Σταυρὲ Χριστοῦ τότε πάντας, ἀξίωσον ὑπαντῆσαι, ἐν ταῖς νεφέλαις ἀέρων, τῷ κρῖναι μέλλοντι πάντας.

Καὶ γίνεται Ἀπόλυσις.

ΤΕΛΟΣ.

ΖΩΣΙΜΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΝΔΙΟΡΘΩΤΗ ΝΤΟΡΗΣ ΠΑΡΑ

ΕΤΕΡΟΣ ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ

ΕΙΣ ΤΟΝ

# ΤΙΜΙΟΝ ΚΑΙ ΖΩΟΠΟΙΟΝ ΣΤΑΥΡΟΝ.

Ποίημα

ΝΙΚΟΛΑΟΥ ΙΕΡΕΩΣ ΓΑΒΡΙΗΛΟΠΟΥΛΟΥ ΤΟΥ ΖΑΚΥΝΘΙΟΥ.

Φέρων ἀκροστιχίδα τὸ ὄνομα τοῦ Συγγραφέως, πλὴν τῆς Θ΄.

Εὐλογήσαντος τοῦ Ἱερέως,

Κύριε εἰσάκουσον.

Εἶτα. Θεὸς Κύριος, δίς.

Τροπάριον, ἦχος δ΄.

Τῷ ζωηφόρῳ νῦν Σταυρῷ προσπελάσωμεν, οἱ μακρυνθέντες τοῖς κακοῖς καὶ προσψαύσωμεν, ἐν ἐπιστρόφῳ λέγοντες καρδίᾳ πιστῶς, πρόφθασον, βοήθησον, ὁ Σταυρὸς τοῦ Κυρίου, φάνηθι λυτρούμενος ἐκ παντοίων κινδύνων· μὴ ἐποφθῶμεν ἄπρακτα αἰτεῖν· τὴν σὴν γὰρ σκέπην, βεβαίαν ἐλπίζομεν.

Δόξα. καὶ νῦν.

Οὐ δυνησόμεθα Σταυρὲ τοῦ Κυρίου, τὰ σὰ θαυμάσια ὑμνεῖν οἱ κατάκριτοι, εἰμὴ γὰρ σὺ παρέχεις τὰ δωρήματα, τίς ἡμῖν τὴν ἴασιν, τῶν τοῦ σώματος νόσων; τίς δὲ καὶ τὴν κάθαρσιν, τῶν ψυχῶν ἐδωρῆτο; οὐ μακρυνθῶμεν πώποτε ἐκ σοῦ· σὺ γὰρ σκέπεις πάντας πιστούς, ἐκ παντοίων κακῶν.

Εἶτα τὸν Ν΄. Ψαλμὸν καὶ μετὰ τὸν Πεντηκοστὸν,

Ἀρχόμεθα τοῦ Κανόνος τοῦ Τιμίου Σταυροῦ.

## Ποίημα

### ΝΙΚΟΛΑΟΥ ΙΕΡΕΩΣ ΓΑΒΡΙΗΛΟΠΟΥΛΟΥ ΤΟΥ ΖΑΚΥΝΘΙΟΥ.

Ὠδὴ ά. Ἦχος πλ: δ': Ἁρματηλάτην.

Λέγοντες εἰς ἕκαστον Τροπάριον,

Σταυρὲ τοῦ Χριστοῦ σκέπε ἡμᾶς.

Νικῶντες πάσας τοῦ ἐχθροῦ τὰς φάλαγγας, τῇ σῇ δυνάμει Σταυρὲ, οἱ εὐσεβεῖς πόθῳ, σήμερον ὁρῶντές σε, προκείμενον προσπίπτομεν, ἐκ καρδίας βοῶντες, χαίροις δι' οὗ εἰς παράδεισον, οἱ πρὶν ἀπωσθέντες, εἰσήχθημεν.

Σταυρὲ τοῦ Χριστοῦ.

Ἰὸν δηγμάτων θανασίμων ὄφεων, πάλαι Μωσῆς καθελὼν, ξύλου ἀνυψώσει, σὲ Σταυρὲ Πανάγιε, σαφῶς προδιεχάραξε, καὶ σὲ γὰρ ἐκτυποῦντες, πάντες πιστοὶ τὸν ὀλέθριον, ἰὸν διαβόλου ἐκφεύγομεν.

Δόξα.

Κόσμου παντὸς τετραμεροῦς τὰ πέρατα, καθαγιάζονται νῦν, τῇ σῇ ἀνυψώσει, ξύλον πανσεβάσμιον, Σταυρὲ τετραπυρσόφωτε, δι' οὗ σκότος ἠλάθη, καὶ ἡ ἀρὰ ἐξηφάνισται, καὶ ἡ εὐλογία ἐξήνθησεν.

Καὶ νῦν. Θεοτ:

Ὀδυρομένη ἡ ἁγνὴ καὶ ἄμωμος, σοὶ παρεστῶσα Σταυρὲ, ἔκλαιεν ὁρῶσα, ὡς κακοῦργον ἔνοχον, θανάτου τὸν ἀνεύθυνον, τῆς ζωῆς παροχέα, καὶ τοῦ θανάτου δεσπόζοντα, ὅνπερ ἀνωδίνως ἐγέννησεν.

Ὠδὴ γ'. Οὐρανίας ἁψῖδος.

Σταυρὲ τοῦ Χριστοῦ.

Λόγος βρότειος ἅπας, ἀδυνατεῖ φθέγξασθαι, σοῦ τῶν μεγαλείων τὰ πλήθη, Σταυρὲ Πανάγιε, καὶ γὰρ ἡ



δύναμίς σου, ψυχὰς καὶ σώματα πάντων, τῶν προσερχομένων σοι, ἐν πίστει ῥώννυσι.

Σταυρὲ τοῦ Χριστοῦ.

Ἀδιστάκτῳ τῇ πίστει, περιχαρῶς ἅπαντες, δεῦτε τὸν Σταυρὸν τοῦ Κυρίου, περιπτυξώμεθα, κατασπαζόμενοι, εἰλικρινῶς τε βοῶντες, χαῖρε ξύλον Ἅγιον, Ἀνάκτων τρόπαιον.

Δόξα.

Ὁ Σταυρὸς τοῦ Κυρίου, λαμπαδουχεῖ σήμερον, θείας ἀποπέμπων ἀκτῖνας, δεῦτε προσέλθωμεν, οἱ ἀμαυρώσαντες, τὸ κατ' εἰκόνα καὶ ῥύπους, ψυχῶν ἀποσμήξαντες, περιλαμφθείημεν.

Καὶ νῦν. Θεοτ.

Ὑπὲρ γένους ἀνθρώπων, ὁ σὸς Υἱὸς Δέσποινα, Ξύλῳ τοῦ Σταυροῦ ἀνυψώθη, ὃν καθορῶσα δὲ, τὰς ὄψεις ξαίνουσα, ὀδυρομένη τὴν τούτου, θείαν συγκατάβασιν, λίαν ἐθαύμαζες.

Διάσωσον Σταυρὲ Κυρίου, τὴν ποίμνην σου ἀπὸ βλάβης, ὅτι πάντες ἐν σοὶ καυχώμεθα, καὶ γινώσκομεν τὴν σκέπην σου, κράτος καὶ σωτηρίαν.

Ἐπίσκεπε τῇ σῇ δυνάμει, τοὺς πίστει σε προσκυνοῦντας, Τίμιε Σταυρὲ, ἐξ ἐχθρῶν παντοίας κακώσεως, καὶ δίωξον τὰς αὐτῶν κακουχίας.

Αἴτησις παρὰ τοῦ Ἱερέως, καὶ Ἐκφώνησις.

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος.

Καὶ λέγομεν τὰ παρόντα Τροπάρια.

Ἦχος πλ: δ'. Τὴν σοφίαν καὶ λόγον.

Ἀνερχόμενος Σῶτερ ἐν τῷ Σταυρῷ, ἀγαθότητος πλούτῳ φύσει Θεὸς, ὁρῶσα ἡ Κτίσις σε, ἀκατάλη-

πτε ἔτρεμε, καὶ κλονουμένη πᾶσα, τῷ φόβῳ συνείχετο, καὶ Ἰουδαίων δῆμος Πιλάτῳ ἐκέκραγε· ἆρον ὡς κακοῦργον, Σταυρῷ καὶ ἥλοις καθήλωσον, καὶ τῇ λόγχῃ ἐκκέντησον, καὶ θανάτῳ κατάγαγε. Καὶ τοιαῦτά σε πάσχοντα ἡ Μήτηρ σου ὡς ἑώρα, δεινῶς ἐβόα Δέσποτα, Υἱέ μου μακρόθυμε, ὡς ἐκπλήττομαι τὴν ἄκραν σου συγκατάβασιν.

Δόξα. καὶ νῦν.

Παναγία Παρθένε Μήτηρ Θεοῦ, τῆς ψυχῆς μου τὰ πάθη τὰ χαλεπὰ, ἴασαι δέομαι, καὶ συγγνώμην παράσχου μοι, τῶν ἐμῶν πταισμάτων ἀφρόνως ὧν ἔπραξα, τὴν ψυχὴν καὶ τὸ σῶμα μολύνας ὁ ἄθλιος. Οἴμοι τί ποιήσω ἐν ἐκείνῃ τῇ ὥρᾳ, ἡνίκα οἱ Ἄγγελοι, τὴν ψυχήν μου χωρίζουσιν, ἐκ τοῦ ἀθλίου μου σώματος; τότε Δέσποινα παρήγορός μοι γενοῦ, καὶ προστάτις θερμώτατος· σὲ γὰρ ἔχω ἐλπίδα ὁ ἀνάξιος δοῦλός σου.

Ὠδὴ δ΄. Σύ μου ἰσχὺς Κύριε.

Σταυρὲ τοῦ Χριστοῦ.

Ἴδε Σταυρὸς, ἡμῖν ὁρᾶται προκείμενος, ἁγιάζων, πάντας τοὺς προσψαύοντας, εἰλικρινῶς τε καὶ καθαρῶς, καὶ ἀσπαζομένους, αὐτὸν ἐκ πόθου καὶ πίστεως, προθύμῳ οὖν καρδίᾳ, προσκυνήσωμεν τοῦτον, κομιζόμενοι χάριν τὴν ἄφθονον.

Σταυρὲ τοῦ Χριστοῦ.

Ἐκτείνει μὲν, Μωσῆς τὰς χεῖρας προτυπούμενος, ἐν ἐρήμῳ, Ἀμαλὴκ τὸν τύραννον, σὲ προτυπῶν τίμιε Σταυρέ· ἡμεῖς δὲ τυποῦντες, σοῦ τὸ σημεῖον ἐκφεύγομεν, δαιμόνων πᾶσαν βλάβην, καὶ ψυχῶν καὶ σωμάτων, σωτηρίαν ἀφθόνως καρπούμεθα.



Δόξα.

Ῥῆσις Δαβὶδ, προφήτου νῦν πέρας εἴληφε, καὶ γὰρ πάντες, ὑψοῦντες τὸν Κύριον, τὸ ὑποπόδιον τῶν αὐτοῦ, ποδῶν παναχράντων, προσκυνητῶς ἀσπαζόμεθα, αἰτούμενοι συγγνώμην, τῶν προτέρων πταισμάτων, καὶ τρυφῆς Παραδείσου τὴν οἴκησιν.

Καὶ νῦν. Θεοτ.

Εἰ καὶ τὸν σὸν, Υἱὸν ὁρῶσα κρεμάμενον, Παναγία, ὅλως ἐνητένιζες, ἐπὶ τοῦ Ξύλου τοῦ Σταυρικοῦ, κοπτομένη θρήνοις, ἀλλ' οὖν τὴν τούτου ἀμέτρητον, βλέπουσα εὐσπλαγχνίαν, μεγαλύνουσα ὕμνεις, τὴν αὐτοῦ πρὸς ἡμᾶς συγκατάβασιν.

Ὠδὴ ε΄. Ἵνα τί με ἀπώσω.

Σταυρὲ τοῦ Χριστοῦ.

Ὢ παράδοξον θαῦμα, ὢ φρικτὸν ἐξαίσιον, νῦν τερατούργημα, πῶς ὑπεραστράπτει, τῶν Ἡλίου ἀκτίνων Θεῖος Σταυρὸς, καὶ φωτίζει πάντας, τοὺς προσπελάζοντας ἐν τούτῳ, εὐρωστίαν ψυχῶν χαριζόμενος.

Σταυρὲ τοῦ Χριστοῦ.

Στῖφος τῶν πολεμίων, τῇ θείᾳ δυνάμει, τοῦ Σταυροῦ κατήργηται, ὅπλον γὰρ ὑπάρχει, κραταιὸν καὶ ἀκράδαντον ἔρεισμα, τοῖς πιστοῖς καὶ τεῖχος, καὶ ἀπλανὴς φρουρὸς καὶ φύλαξ, καὶ ἀπόρθητον ὄντως προπύργιον.

Δόξα.

Γόνυ κλίνωμεν πάντες, ξύλον τὸ τρισόλβιον, κατασπαζόμενοι, δι' οὗ ἠφάνισται, ἡ ἀρὰ καὶ φθορὰ ἐξωστράκισται, χαίροις ἐκβοῶντες, Σταυρὲ Κυρίου δι' οὗ πάλιν, τὴν ἀρχαίαν πατρίδα ἐλάβομεν.

Καὶ νῦν. Θεοτ.

Ἀκορέστως Παρθένε, ἐν Σταυρῷ ἠτένιζες, τοῦ γλυκυτάτου σοι, τοκετοῦ σου Θείου, καὶ ἐγόας τὰς τρίχας ἐκτίλλουσα· κοπτομένη θρήνοις, τὴν πρὸς τοὺς ἀχαρίστους ὕμνεις, ἄφατον καὶ φρικτὴν συγκατάβασιν.

Ὠδὴ ς΄. Τὴν δέησιν ἐκχεῶ.

Σταυρὲ τοῦ Χριστοῦ.

Βαρβάρων πολεμικὰ φρυάγματα, εὐσεβεῖς κατατροποῦνται ἰσχύϊ, τῇ σῇ Σταυρὲ, ὅπλον γὰρ σὺ ἐδόθης, πᾶσι πιστοῖς καὶ βεβαία ἀντίληψις· ὡς ἔχων οὖν πᾶσαν ἰσχὺν, τάχος θραῦσον τῆς Ἄγαρ τὸ κύημα.

Σταυρὲ τοῦ Χριστοῦ.

Ῥημάτων προφητικῶν πεπλήρωνται, αἱ προῤῥήσεις ἐν σοὶ πάνσεπτον ξύλον, Θεῖε Σταυρὲ, καὶ γὰρ πάντες Κυρίου, σὲ ὑποπόδιον ὄντως κηρύττομεν, ὑμνοῦντες τὸν ἐν σοὶ Χριστὸν, ὑψωθέντα πιστῶς προσκυνοῦμέν σε.

Δόξα.

Ἴσχυσον καὶ νῦν ἡμᾶς Πανάγιε, τοῦ προσφέρειν σοι Σταυρὲ θείους ὕμνους, καὶ γὰρ ἡμεῖς, ἀποροῦμεν διόλου, σὲ καταξίαν γεραίρειν Τρισόλβιε, τὴν χάριν σου ὅθεν ἡμῖν, τοῖς ὑμνοῦσί σε πόθῳ κατάπεμψον.

Καὶ νῦν. Θεοτ.

Ἡ ἄνυμφος Θεοτόκος βλέπουσα, ἐν τῷ ξύλῳ τοῦ Σταυροῦ κρεμασθέντα, τὸν ἐξ αὐτῆς, ἀποῤῥήτως τεχθέντα, ἐκπληττομένη θερμῶς ἀνεκραύγαζεν, ὦ Ξύλον χαῖρε Σταυρικὸν, δι᾽ οὗ γένος ἀνθρώπων ἠλέηται.

Διάσωσον Σταυρὲ Κυρίου, τὴν ποίμνην σου ἀπὸ βλάβης, ὅτι πάντες ἐν σοὶ καυχώμεθα, καὶ γινώσκομεν τὴν σκέπην σου, κράτος καὶ σωτηρίαν.



Ἐπίσκεπε τῇ σῇ δυνάμει, τοὺς πίστει σε προσκυνοῦντας, Τίμιε Σταυρὲ, ἐξ ἐχθρῶν παντοίας κακώσεως, καὶ δίωξον τὰς αὐτῶν κακουχίας.

Αἴτησις παρὰ τοῦ Ἱερέως· καὶ μετὰ τὴν Ἐκφώνησιν, Σὺ γὰρ εἶ ὁ Βασιλεὺς, τὸ παρὸν Τροπάριον.

Ἦχος β΄. Τὰ ἄνω ζητῶν.

Τὸ ξύλον ζωῆς, καὶ δύναμις ὑπέροπλος, ἐλπὶς τῶν Πιστῶν, καὶ σκέπη καὶ κραταίωμα, ἐκ ψυχῆς βοῶμέν σοι, Σταυρὲ Κυρίου φύλαξ φάνηθι, καὶ ἐκ σκανδάλων τῶν τοῦ πονηροῦ, προφθάσας ῥῦσαι ἡμᾶς τοὺς ὑμνοῦντάς σε.

Εἶτα οἱ Ἀναβαθμοὶ τὸ ά. Ἀντίφ. τοῦ δ΄. ἤχου.

Ἐκ νεότητός μου πολλὰ πολεμεῖ με πάθη, ἀλλ᾽ αὐτὸς ἀντιλαβοῦ, καὶ σῶσον Σωτήρ μου.

Οἱ μισοῦντες Σιὼν αἰσχύνθητε ἀπὸ τοῦ Κυρίου, ὡς χόρτος γὰρ, πυρὶ ἔσεσθε, ἀπεξηραμμένοι.

Δόξα.

Ἁγίῳ Πνεύματι, πᾶσα ψυχὴ ζωοῦται, καὶ καθάρσει ὑψοῦται λαμπρύνεται, τῇ τριαδικῇ Μονάδι, ἱεροκρυφίως.

Καὶ νῦν.

Ἁγίῳ Πνεύματι, ἀναβλύζει τὰ τῆς χάριτος ῥεῖθρα ἀρδεύοντα, ἅπασαν τὴν κτίσιν, πρὸς ζωογονίαν.

Καὶ εὐθὺς τὸ, Προκείμενον ἦχος δ΄.

Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν, καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ, ὅτι ἅγιός ἐστιν.

Στ΄. Ὁ δὲ Θεὸς Βασιλεὺς ἡμῶν, πρὸ αἰώνων εἰργάσατο σωτηρίαν, ἐν μέσῳ τῆς γῆς.

Τοῦ Κυρίου δεηθῶμεν.

Ἐκφώνησις,

Ὅτι ἅγιος εἶ ὁ Θεὸς ἡμῶν, καὶ ἐν ἁγίοις ἐπαναπαύῃ. κ. τ. λ.

Τὸ, Πᾶσα πνοή.

Εἶτα, Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι κ. τ. λ.

Εὐαγγέλιον κατὰ Ἰωάννην.

Εἶπεν ὁ Κύριος. Πάτερ δόξασόν σου τὸ ὄνομα. Ἦλθεν οὖν φωνὴ ἐκ τοῦ οὐρανοῦ· Καὶ ἐδόξασα, καὶ πάλιν δοξάσω. Ὁ οὖν ὄχλος ὁ ἑστὼς καὶ ἀκούσας ἔλεγε, βροντὴν γεγονέναι. Ἄλλοι ἔλεγον, Ἄγγελος αὐτῷ λελάληκεν. Ἀπεκρίθη ὁ Ἰησοῦς καὶ εἶπεν· οὐ δι' ἐμὲ αὕτη ἡ φωνὴ γέγονεν, ἀλλὰ δι' ὑμᾶς. Νῦν κρίσις ἐστὶ τοῦ κόσμου τούτου· νῦν ὁ ἄρχων τοῦ κόσμου τούτου ἐκβληθήσεται ἔξω· κἀγὼ ἐὰν ὑψωθῶ ἐκ τῆς γῆς, πάντας ἑλκύσω πρὸς ἐμαυτόν. Τοῦτο δὲ ἔλεγε σημαίνων, ποίῳ θανάτῳ ἤμελλεν ἀποθνήσκειν. Ἀπεκρίθη αὐτῷ ὁ ὄχλος· ἡμεῖς ἠκούσαμεν ἐκ τοῦ νόμου, ὅτι ὁ Χριστὸς μένει εἰς τὸν αἰῶνα· καὶ πῶς σὺ λέγεις, δεῖ ὑψωθῆναι τὸν υἱὸν τοῦ ἀνθρώπου; τίς ἐστιν οὗτος ὁ υἱὸς τοῦ ἀνθρώπου; εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς· ἔτι μικρὸν χρόνον τὸ φῶς μεθ' ὑμῶν ἐστι· περιπατεῖτε ἕως τὸ φῶς ἔχετε, ἵνα μὴ σκοτία ὑμᾶς καταλάβῃ· καὶ ὁ περιπατῶν ἐν τῇ σκοτίᾳ, οὐκ οἶδε ποῦ ὑπάγει. Ἕως τὸ φῶς ἔχετε, πιστεύετε εἰς τὸ φῶς, ἵνα υἱοὶ φωτὸς γένησθε.

Εἶτα. Δόξα.

Τῇ τοῦ Θείου Σταυροῦ σου δυνάμει ἐλεήμων, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν. Θεοτ.

Ταῖς τῆς Θεοτόκου πρεσβείαις ἐλεήμων, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.



Εἶτα. Ἐλέησόν με ὁ Θεός.

Καὶ ψάλλομεν τὸ παρόν.

Τροπάριον, ἦχος πλ. δ'.

Σταυρὲ τοῦ Χριστοῦ, χριστιανῶν ἡ ἐλπὶς, πεπλανημένων ὁδηγὲ, χειμαζομένων λιμὴν, ἐν πολέμοις νῖκος, οἰκουμένης ἀσφάλεια, νοσούντων ἰατρὲ, νεκρῶν ἡ ἀνάστασις, ἐλέησον ἡμᾶς.

Ὁ Ἱερεύς. Σῶσον ὁ Θεὸς τὸν λαόν σου.

Τὸ Κύριε ἐλέησον ιβ'. καὶ Ἐκφώνησις.

Ἐλέει καὶ οἰκτιρμοῖς κ.τ.λ.

Ὠδὴ ζ'. Παῖδες Ἑβραίων.

Σταυρὲ τοῦ Χριστοῦ.

Λύσιν προτέρων ἐγκλημάτων, ἀπαντήσωμεν πιστοὶ τῇ προσκυνήσει, τοῦ Τιμίου Σταυροῦ κραυγάζοντες ἐν πίστει, εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Σταυρὲ τοῦ Χριστοῦ.

Οὕτως ἐγγόνοις εὐλογίαν, Ἰακὼβ διδοὺς τὸν τύπον προχαράττει, τοῦ πανσέπτου Σταυροῦ δι' οὗ ἀπεσταυρώθη, ἡ παλαιότης γράμματος, καὶ ἡ χάρις ἀντεισήχθη.

Δόξα.

Πάντα τὰ ξύλα εὐφραινέσθω, ὡς τῆς φύσεως αὐτῶν ἁγιασθείσης, τανυθέντος Χριστοῦ ἐν ξύλῳ ᾧ βοῶμεν, εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Καὶ νῦν. Θεοτ:

Ὅτε παρέστης Θεοτόκε, τῷ σεπτῷ Σταυρῷ ὁρῶσα τὸν τεχθέντα, ἀπορρήτως ἐκ Σοῦ κρεμάμενον ἐβόας, χαίροις Σταυρὲ Τρισόλβιε, τῶν πιστῶν ἡ βακτηρία.

Ὠδὴ η΄. Τὸν ἐν ὄρει Ἁγίῳ.

Σταυρὲ τοῦ Χριστοῦ.

Ὑπὲρ γένους, ἀνθρώπων κατεδέξω, προσπαγῆναι Χριστὲ, Σταυρῷ ἐθελουσίως, ξύλῳ Σταυροῦ ζωὴν ἡμῖν δωρούμενος, φύλακα καὶ ῥύστην, πάντες ἐπιγνόντες, ἡμεῖς σὲ προσκυνοῦμεν.

Σταυρὲ τοῦ Χριστοῦ.

Λελουμένοι, τῷ αἵματι οἰκτίρμων, ἐκ τῆς θείας πλευρᾶς, ἀδίκως ἐκχυθέντος, ὅτε τὸν Σταυρικὸν ὑπέστης θάνατον, ἀρᾶς τῶν προγόνων, ἅπαντες ῥυσθέντες, καρποὺς ζωῆς τρυγῶμεν.

Δόξα.

Ὁλοψύχως, Σταυρὲ ἀναβοῶ σοι, ὁ ἀχρεῖος ψέκτης, ἱκέτης σου τὸ οἴμοι, τῶν ὀφλημάτων ἄφεσιν αἰτούμενος, ὡς τῇ σῇ ἀφάτῳ, πολυευσπλαγχνίᾳ, θαῤῥῶν ὑπερβαλλόντως.

Καὶ νῦν. Θεοτ.

Ὑπὲρ δοῦλον, ἀχρεῖον κρεμασθέντα, ὥσπερ κατιδοῦσα, τὸν σὸν υἱὸν παρθένε, ὕμνεις αὐτὸν καὶ νῦν κἀγὼ Σοῦ δέομαι, τὸν παραπεσόντα, οἰκτειρῆσαι τάχος, τῇ σῇ θερμῇ πρεσβείᾳ.

Ὠδὴ θ΄. Ἐξέστη ἐπὶ τούτῳ.

Σταυρὲ τοῦ Χριστοῦ.

Ἀνάκτων τῷ πρωτίστῳ Χριστιανῶν, ἀστροσύνθετον ὤφθη τὸ τρόπαιον, τὸ τοῦ Σταυροῦ, πάσας πολεμίων τὰς μηχανὰς, ῥαδίως ἐκτροπούμενον, καὶ περιζωννύον τοῦτον ἰσχὺν, αὐτὸν καὶ νῦν ὁρῶντες, προκείμενον ζεούσῃ, τῇ προθυμίᾳ ἀσπασώμεθα.



Σταυρὲ τοῦ Χριστοῦ.

Ἡ ῥάβδος Μωϋσέως τέμνει ὑγρὰν, καὶ λαὸν διασώζει ἀγνώμονα, τύπον Σταυροῦ, προδιαχαράττουσα ἀληθῶς, δι' οὗ ἡμεῖς ἐῤῥύσθημεν τῆς αἰχμαλωσίας τῆς χαλεπῆς, τοῦ νοητοῦ τυράννου, καὶ θείας βασιλείας, τῶν οὐρανῶν κατηξιώθημεν.

Δόξα.

Οὐ παύσω προσφωνῶν σοι θεῖε Σταυρὲ, χαῖρε ξύλον ζωῆς τὸ τρισύνθετον, χαῖρε πιστῶν, βασιλέων νῖκος χαῖρε στεῤῥὸν, χριστιανῶν προπύργιον, τῶν χειμαζομένων χαῖρε λιμὴν, τῶν ἀσθενούντων ῥῦσις, τῶν ἱερέων δόξα, κἀμοῦ τε ὄντως καταφύγιον.

Καὶ νῦν. Θεοτ.

Ὀδύνας φέρεις Κόρη ἐν τῷ Σταυρῷ, καθορῶσα τὸν Σὸν καθηλούμενον, Υἱὸν πικρῶς, ὀλοφυρομένη ὃν νῦν πιστῶς, Σὲ ἱκετεύω πρέσβευε, λύσιν τῶν ἀμέτρων μου παρασχεῖν, πταισμάτων καὶ ἐν ὥρᾳ τῆς δίκης οἰκτειρῆσαι, τὸν ὑπὲρ πάντας βροτοὺς πταίσαντα.

Καὶ εὐθὺς τό.

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, τοῦ δοξάζειν σε Σταυρὸν τὸν θεῖον, τὸν ἀφθονοπάροχον καὶ ἀγαθόδωρον, καὶ τὸ σκῆπτρον τοῦ Θεοῦ ἡμῶν. Τὸν ὑπεραρθέντα τῶν Χερουβὶμ, καὶ τῶν ὑπεράνω ἀναβάντα τῶν Σεραφίμ· τὸν ὑπερβαλλόντως ἐν Κόσμῳ ὑψωθέντα, Σταυρὸν τὸν ζωηφόρον, Σὲ μεγαλύνομεν.

Σταυρὸν καθορῶντες οἱ εὐσεβεῖς, σταύρωσίν σου θείαν ἀνυμνοῦμεν ὦ Ἰησοῦ, ὅθεν σοι βοῶμεν ἡμᾶς ἀξιωθῆναι, τὸ πάθος προσκυνῆσαί σου τὸ πανάγιον.

ΒΙΒΛΙΟΘΗΚΗ ... ΣΥΛΛΕΚΤΗ ... ΤΟΡΗΣ ΠΑΠΑΣ...

Κύριε ἐλέησον ὁ λαὸς, ἔκραζεν οἰκτίρμων καθορῶν Σου τὴν ἐν Σταυρῷ, ὕψωσιν ἡμεῖς δὲ, θερμῶς Σοι ἐκβοῶμεν, Χριστὲ ἡμαρτηκότας ἡμᾶς ἐλέησον.

Ὑμνῶ Σου τὴν σταύρωσιν Ἀγαθὲ, ὑμνῶ Σου τὰ πάθη προσκυνῶ Σου καὶ τὴν ταφὴν, τοὺς ἥλους τὴν λόγχην, τὸν κάλαμον, τὸν σπόγγον, τὰ πάντα προσκυνῶ σου, Σῶτερ μακρόθυμε.

Τὸν ἀνυψωθέντα ἐν τῷ Σταυρῷ, ἐν τόπῳ Κρανίου καὶ σαλεύσαντα πᾶσαν γῆν, ἥλιος ὡς εἶδε, κρεμάμενον ἐν ξύλῳ, τὸ φῶς κατεσκοτίσθη, καὶ γῆ σαλεύεται.

Τοὺς τετειχισμένους τῷ Σῷ Σταυρῷ, καὶ ἐγκαυχωμένους τοῖς Σοῖς πάθεσι Λυτρωτὰ, στήριξον ἐν πέτρᾳ, τῶν ἐντολῶν σου Λόγε, υἱούς τε ἀναδείξαις τῆς βασιλείας σου.

Χαῖρε σκῆπτρον ἅγιον τοῦ Χριστοῦ, Σταυρὲ ζωηφόρε, χαῖρε στήριγμα τῶν πιστῶν, ἀνάκτων τὸ κλέος καὶ δόξα ἱερέων, δαιμόνων καθαιρέτα, Σταυρὲ Πανάγιε.

Ἄχραντε Παρθένε Μήτηρ Θεοῦ, καὶ δεδοξασμένη ὑπὲρ πᾶσαν φύσιν βροτῶν, ἀκήρατε Κόρη, Ἁγία Θεοτόκε, περίσωζε τοὺς πίστει, Σὲ μεγαλύνοντας.

Ὅταν δὲ λέγωνται Οἶκοι, ψάλλεται ἀργῶς τὸ,

Κοντάκιον.

Ὦ τρισμακάριστε Σταυρὲ καὶ πανσεβάσμιε·
Σὲ προσκυνοῦμεν οἱ πιστοὶ καὶ μεγαλύνομεν·
Ἀγαλλόμενοι τῇ Θείᾳ σου ἀνυψώσει·



Ἀλλ' ὡς τρόπαιον καὶ ὅπλον ἀπροσμάχητον·
Περιφρούρει τε καὶ σκέπε τῇ σῇ χάριτι·
Τοὺς Σοὶ κράζοντας, Χαῖρε Ξύλον μακάριον.

Εἶτα τὸ Τρισάγιον. Δόξα. καὶ νῦν.

Παναγία Τριάς. Πάτερ ἡμῶν.

Ὁ Ἱερεύς. Ὅτι σοῦ ἐστίν.

Μετὰ δὲ, τὰ Τροπάρια ταῦτα.

ἦχος πλ: β'.

Πρὸς τὸ Ἐλέησον ἡμᾶς Κύριε.

Τὸν ζωοποιὸν Σταυρὸν τῆς Σῆς ἀγαθότητος, ὃν ἐδωρήσω ἡμῖν τοῖς ἀναξίοις Κύριε, σοὶ προσάγομεν εἰς πρεσβείαν, σῶζε τοὺς Βασιλεῖς καὶ τὴν Πόλιν σου, εἰρηνεύοντας διὰ τῆς Θεοτόκου μόνε φιλάνθρωπε.

Δόξα.

Τὸ Ξύλον ἤνεγκε φθορὰν, ἐν Ἐδὲμ τῷ Γενάρχῃ, Σταυροῦ δὲ τὸ Ξύλον τὴν ζωὴν ἤνθισεν ἐν Κρανίῳ, πεπάτηται καὶ γὰρ κακία τοῦ ἐχθροῦ, ἠλέηται τῇ προσηλώσει τοῦ Χριστοῦ, καὶ εὗρε τὸν Παράδεισον, κραυγάζων ὁ Ἀδὰμ, ὦ Ξύλον εὐλογημένον.

Καὶ νῦν.

Ἐν ξύλῳ βλέπουσα νεκρὸν κρεμάμενον ἡ Παρθένος, Θεὸν ὃν ἔτεκε σαρκὶ, θρηνῳδοῦσα ἐβόα, τὴν ἄφατον μακροθυμίαν σου Υἱὲ ἐκπλήττομαι, πῶς ὡς κατάκριτον Σταυρῷ προσήλωσαν οἱ ἄνομοι τὸν δίκαιον Κριτὴν, καὶ μόνον Σὲ Δεσπότην.

Ἐλέησον ἡμᾶς ὁ Θεός.
εἰς τὴν γ'. Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβῶν.
εἰς τὴν ϛ'. Ἔτι δεόμεθα ὑπὲρ τοῦ Ἀρχιεπισκόπου.
Ἔτι δεόμεθα ὑπὲρ τοῦ διαφυλαχθῆναι.
Ἔτι δεόμεθα ὑπὲρ ὑγείας τῶν Ἐπιτρόπων.
Ἐπάκουσον ἡμῶν ὁ Θεός. κ. τ. λ.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ... ΝΤΟΡΗΣ ΠΑ...

Εἶτα τὰ Ἐξαποστειλάρια.

Σταυρὸς ὁ φύλαξ πάσης τῆς οἰκουμένης.
Σταυρὸς ἡ ὡραιότης τῆς Ἐκκλησίας.
Σταυρὸς Βασιλέων τὸ κραταίωμα.
Σταυρὸς πιστῶν τὸ στήριγμα.
Σταυρὸς Ἀγγέλων ἡ δόξα.
Καὶ τῶν δαιμόνων τὸ τραῦμα.

Ἀπόστολοι καὶ Προφῆται, καὶ Μάρτυρες σὺν Ὁσίοις, καὶ πλῆθος ἅπαν Ἁγίων, Σταυρὸν ἐν μέσῳ ὁρῶντες, χαίροντες λέγουσι πᾶσιν, οὗτος πιστῶν σωτηρία.

Τὰ θαύματα καὶ δυνάμεις, συναθροισθέντα ἐν Ξύλῳ, τῷ τοῦ Σταυροῦ ἐκβοῶσι, δεῦτε ἀρύσασθε χάριν· καὶ γὰρ ἐκχεῖται ἀφθόνως, τοῖς προσιοῦσιν ἐν πίστει.

Ὅταν φανῇς ἐν τῷ Κόσμῳ ἐξ οὐρανοῦ μετὰ δόξης, Σταυρὲ Χριστοῦ, τότε πάντας, ἀξίωσον ὑπαντῆσαι, ἐν ταῖς νεφέλαις ἀέρων, τῷ κρῖναι μέλλοντι πάντας.

Καὶ γίνεται Ἀπόλυσις.

ΤΕΛΟΣ ΤΩΝ ΚΑΝΟΝΩΝ.

# ΟΙΚΟΙ

ΕΙΣ ΤΟΝ

# ΤΙΜΙΟΝ ΣΤΑΥΡΟΝ.

Ἄγγελοι οὐρανόθεν, ἀοράτως κυκλοῦσι, Σταυρὸν τὸν ζωηφόρον ἐν φόβῳ· καὶ φωτοπάροχον χάριν λαμπρῶς, παρεχόμενον νῦν τοῖς πιστοῖς βλέποντες, ἐξίστανται καὶ ἵστανται βοῶντες, πρὸς αὐτὸν τοιαῦτα·
χαῖρε Σταυρὲ, οἰκουμένης φύλαξ· χαῖρε ἡ δόξα, τῆς Ἐκκλησίας.
χαῖρε ὁ πηγάζων, ἀφθόνως ἰάματα· χαῖρε ὁ φωτίζων, τοῦ κόσμου τὰ πέρατα.
χαῖρε Ξύλον ζωομύριστον, καὶ θαυμάτων θησαυρέ· χαῖρε συνθετοτρισόλβιε, καὶ χαρίτων παροχεῦ·
χαῖρε ὅτι ὑπάρχεις, ὑποπόδιον θεῖον· χαῖρε ὅτι ἐτέθης, εἰς προσκύνησιν πάντων.
χαῖρε κρατὴρ, τοῦ νέκταρος ἔμπλεος· χαῖρε λαμπτὴρ, τῆς ἄνω λαμπρότητος.
χαῖρε δι' οὗ, εὐλογεῖται ἡ κτίσις· χαῖρε δι' οὗ, προσκυνεῖται ὁ Κτίστης.
Χαῖρε Ξύλον μακάριον.

Βλέπουσα ἡ Ἑλένη, ἑαυτὴν ἐν ἐφέσει, φησὶ τῷ βασιλεῖ θαρσαλέως· τὸ παμπόθητόν σου τῆς ψυχῆς, εὐχερέστατόν μου τῇ σπουδῇ φαίνεται, ζητοῦσα γοῦν τὸ κράτιστόν σοι τρόπαιον, ὡς λέγεις, κράζω·
Ἀλληλούϊα.



ΕΛΛΗΝΙΚΗ ... ΒΙΒΛΙΟΘΗΚΗ ... ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Γνῶσιν ἄγνωστον πρώην, ἡ Βασίλισσα γνοῦσα, ἐβόησε πρὸς τοὺς ὑπουργοῦντας· ἐκ λαγόνων τῆς γῆς εὑρεῖν ἐν τάχει, καὶ δοῦναι τὸν Σταυρὸν σπεύσατε, πρὸς ὃν ἰδοῦσα ἔφησεν ἐν φόβῳ, πλὴν κράζουσα οὕτω·

χαῖρε χαρᾶς τῆς ὄντως σημεῖον· χαῖρε ἀρᾶς τῆς ἀρχαίας λύτρον.

χαῖρε θησαυρὸς, ἐν γῇ φθόνῳ κρυπτόμενος· χαῖρε ὁ φανεὶς, ἐν τοῖς ἄστροις τυπούμενος.

χαῖρε τετρακτινοπύρσευτε, καὶ πυρίμορφε Σταυρέ· χαῖρε κλίμαξ ὑψοστήρικτε, προοραθεῖσα ποτέ.

χαῖρε τὸ τῶν Ἀγγέλων, γαληνόμορφον θαῦμα· χαῖρε τὸ τῶν δαιμόνων, πολυστένακτον τραῦμα.

χαῖρε τερπνὸν, τοῦ Λόγου κειμήλιον· χαῖρε πυρὸς τῆς πλάνης σβεστήριον.

χαῖρε Σταυρὲ, ἀπορούντων προστάτα· χαῖρε στεῤῥὲ εὐδρομούντων ἀλείπτα.

Χαῖρε ξύλον μακάριον.

Δύναμις ἡ τοῦ Ξύλου, ἐπιδέδεικται τότε, πρὸς πίστωσιν ἀληθῆ τοῖς πᾶσι· καὶ τὴν ἄφωνόν τε καὶ νεκρὰν πρὸς ζωὴν ἀνέστησε, φρικτὸν θέαμα τοῖς μέλλουσι καρποῦσθαι σωτηρίαν, ἐν τῷ μέλπειν οὕτως·

Ἀλληλούϊα.

Ἔχουσα ἡ Ἑλλένη, τὸ ἀήττητον ὅπλον, ἀνέδραμε πρὸς τὸν ταύτης γόνον· ὁ δὲ μέγας σκιρτήσας εὐθὺς, ἐπιγνοὺς τὸν μέγιστον Σταυρὸν ἔχαιρε, καὶ ἅλμασιν ὡς ᾄσμασιν ἐβόα, πρὸς αὐτὸν τοιαῦτα·

χαῖρε Σταυρὲ, τοῦ φωτὸς δοχεῖον· χαῖρε Σταυρὲ, τῆς ζωῆς ταμεῖον.



χαῖρε ὁ δοτὴρ, χαρισμάτων τοῦ Πνεύματος· χαῖρε ὁ λιμὴν, ποντοπόρων ἀχείμαστος.

χαῖρε τράπεζα βαστάζουσα, ὥσπερ θῦμα τὸν Χριστόν· χαῖρε κλῆμα βότρυν πέπειρον, φέρον οἶνον μυστικόν·

χαῖρε ὅτι τὰ σκῆπτρα, τῶν ἀνάκτων φυλάττεις· χαῖρε ὅτι τὰς κάρας, τῶν δρακόντων συνθλάττεις.

χαῖρε λαμπρὸν τῆς πίστεως γνώρισμα· χαῖρε παντὸς τοῦ κόσμου διάσωσμα.

χαῖρε Θεοῦ πρὸς θνητοὺς εὐλογία· χαῖρε θνητῶν πρὸς Θεὸν μεσιτεία.

Χαῖρε Ξύλον μακάριον.

Ζῆλον ἔνδοθεν θεῖον, ἡ Ἑλένη λαβοῦσα, ἐζήτησε καὶ εὗρε σπουδαίως· τὸν ἐν γῇ κρυπτόμενον Σταυρὸν, καὶ δεικνύμενον ἐν οὐρανῷ Ἄνακτι· ὃν ὕψωσε καὶ βλέπον τὸ πολίτευμα, ἐν πίστει ἔφη·

Ἀλληλούϊα.

Ἡλιόμορφος ὤφθη, ὁ Σταυρὸς ἐν τῷ κόσμῳ, καὶ πάντες φωτισμοῦ ἐμπλησθέντες, καὶ δραμόντες ὡς πρὸς ἀστέρα, θεωροῦσι τοῦτον ὡς καλῶν αἴτιον, ἐν ταῖς χερσὶ ταῖς θείαις ὑψωθέντα, ὃν ὑμνοῦντες εἶπον·

χαῖρε αὐγὴ νοητοῦ Ἡλίου· χαῖρε πηγὴ ἀκενώτου μύρου.

χαῖρε τοῦ Ἀδὰμ καὶ τῆς Εὔας ἀνάκλησις· χαῖρε τῶν ἀρχόντων, τοῦ ᾅδου ἡ νέκρωσις.

χαῖρε ὅτι ἀνυψούμενος, συνανυψοῖς νῦν ἡμᾶς· χαῖρε ὅτι προσκυνούμενος, καθαγιάζεις τὰς ψυχάς.

χαῖρε τῶν Ἀποστόλων κοσμοκήρυκτον κλέος· χαῖρε τῶν ἀθλοφόρων εὐμενέστατον σθένος.

χαῖρε Σταυρὲ, Ἑβραίων ὁ ἔλεγχος· χαῖρε πιστῶν, ἀνθρώπων ὁ ἔπαινος.

χαῖρε δι' οὗ, κατεβλήθη ὁ ᾅδης· χαῖρε δι' οὗ, ἀνατέταλκε χάρις.

Χαῖρε Ξύλον μακάριον.

Θεοβράβευτον Ξύλον, θεωρήσαντες πάντες, τῇ τούτου νῦν προσέλθωμεν σκέπῃ· καὶ ὡς ὅπλον κρατοῦντες αὐτὸ, δι' αὐτοῦ τροποῦμεν τῶν ἐχθρῶν φάλαγγας, καὶ ψαύοντες τὸν ἄψαυστον, τοῖς χείλεσιν αὐτῷ βοῶμεν·

Ἀλληλούϊα.

Ἴδε φῶς οὐρανόθεν, Κωνσταντῖνος ὁ μέγας, δεικνύμενον Σταυροῦ τὸ σημεῖον· ἐν ᾧ νικᾷν πολεμίων πληθὺν, ἔσπευσε τὸ Ξύλον φανερῶσαι, καὶ βοῆσαι πρὸς αὐτὸ τοιαῦτα·

χαῖρε βουλῆς τῆς ἀῤῥήτου πέρας· χαῖρε λαοῦ εὐσεβοῦντος κέρας.

χαῖρε πολεμίων ὁ τρέπων τὰς φάλαγγας· χαῖρε φλὸξ καθάπερ, φλέγων τοὺς δαίμονας.

χαῖρε σκῆπτρον ἐπουράνιον, Βασιλέως καὶ στρατοῦ· χαῖρε τρόπαιον ἀήττητον τοῦ φιλοχρίστου λαοῦ.

χαῖρε ὁ τῶν βαρβάρων, τὴν ὀφρὺν καταβάλλων· χαῖρε ὁ τῶν ἀνθρώπων, τὰς ψυχὰς περιέπων.

χαῖρε κακῶν πολλῶν ἀμυντήριον· χαῖρε καλῶν πολλῶν βραβευτήριον.

χαῖρε δι' οὗ, χριστοφόροι σκιρτῶσι· χαῖρε δι' οὗ, Ἰουδαῖοι θρηνοῦσι.

Χαῖρε Ξύλον μακάριον.

Κλίμαξ οὐρανομήκης, ὁ Σταυρὸς τοῦ Κυρίου, ἐγένετο τοὺς πάντας ἀνάγων· ἀπὸ γῆς πρὸς ὕψος οὐρανοῦ, ἐν χοροῖς Ἀγγέλων συνοικεῖν πάντοτε, ἀφέντας τὰ νῦν ὄντα ὡς μὴ ὄντα, καὶ εἰδότας ψάλλειν·



Ἀλληλούϊα.

Λάμψας φῶς ἐπὶ πᾶσιν, ὁ Σωτὴρ τοῖς ἐν ᾅδῃ, ἐφώτισας τοὺς κάτω κειμένους· πυλωροὶ δὲ ᾅδου τὴν αὐγὴν, μὴ ἐνέγκαντές σου ὡς νεκροὶ πεπτώκασιν, οἱ τούτων δὲ ῥυσθέντες νῦν ὁρῶντες, τὸν Σταυρὸν βοῶσι·

χαῖρε ἀνάστασις τεθνεώτων· χαῖρε παράκλησις τῶν πενθούντων.

χαῖρε τῶν ταμείων τοῦ ᾅδου ἡ κένωσις· χαῖρε Παραδείσου, τρυφῆς ἡ ἀπόλαυσις.

χαῖρε ῥάβδος ἡ ποντίσασα τὸν Αἰγύπτιον στρατόν· χαῖρε αὖθις ἡ ποτίσασα, Ἰσραηλίτην λαόν.

χαῖρε ἔμψυχον Ξύλον, τοῦ Ληστοῦ σωτηρία· χαῖρε εὔοσμον ῥόδον, εὐσεβῶν εὐωδία.

χαῖρε τροφὴ πεινώντων ἐν πνεύματι· χαῖρε σφραγὶς, ἣν ἔλαβον ἄνθρωποι.

χαῖρε Σταυρὲ, μυστηρίων ἡ θύρα· χαῖρε ἐξ οὗ, ῥεῖθρα χέονται θεῖα.

Χαῖρε Ξύλον μακάριον.

Μέλλοντος Μωϋσέως, τὸ πολύμοχθον γένος, λυτρώσασθαι ἐκ τοῦ λυμεῶνος· ἐπεδόθης ὡς ῥάβδος αὐτῷ, ἀλλ' ἐγνώσθης τούτῳ ὡς Θεοῦ σύμβολον· διόπερ κατεπλάγη σου Σταυρὲ τὴν δυναστείαν, κράζων·

Ἀλληλούϊα.

Νόμον ὁ ἐν Σιναίῳ, τῷ Θεόπτῃ δοὺς πάλαι, Σταυρῷ ἐθελοντὶ προσηλοῦται, ὑπὲρ ἀνόμων ἀνόμως ἀνδρῶν, καὶ κατάραν νόμου παλαιὰν ἔλυσεν, ἵνα Σταυροῦ τὴν δύναμιν ὁρῶντες, ἅπαντες νῦν βοῶμεν·

χαῖρε ἀνόρθωσις πεπτωκότων· χαῖρε κατάπτωσις κοσμολάτρων.

χαῖρε Ἀναστάσεως Χριστοῦ τὸ ἐγκαίνισμα· χαῖρε μοναζόντων, τὸ θεῖον ἐντρύφημα.

χαῖρε δένδρον εὐσκιόφυλλον, ὑφ' οὗ σκέπονται πιστοί· χαῖρε ξύλον προφητόφθεγκτον, πεφυτευμένον ἐν γῇ.

χαῖρε τῆς Βασιλείας, κατ' ἐχθρῶν συμμαχία· χαῖρε τῆς πολιτείας κραταιὰ προστασία.

χαῖρε Κριτοῦ δικαίου φανέρωσις· χαῖρε βροτῶν πταιόντων κατάκρισις.

χαῖρε Σταυρὲ, ὀρφανῶν ἀντιλήπτωρ· χαῖρε Σταυρὲ, πλουτιστὰ τῶν πενήτων.

Χαῖρε Ξύλον μακάριον.

Ξένον θαῦμα ἰδόντες, ξένον βίον βιῶμεν, τὸν νοῦν εἰς οὐρανὸν ἀνυψοῦντες· διὰ τοῦτο γὰρ ἐν τῷ Σταυρῷ ὁ Χριστὸς ἐπάγη καὶ σαρκὶ πέπονθε, βουλόμενος ἑλκύσαι πρὸς τὸ ὕψος, τοὺς αὐτῷ βοῶντας·

Ἀλληλούϊα.

Ὅλος ἦλθεν ἐξ ὕψους, τὴν Θεότητα ἔχων, ὁ μόνος προαιώνιος Λόγος· καὶ τεχθεὶς ἐκ Παρθένου Μητρὸς, καὶ φανεὶς τῷ κόσμῳ ταπεινὸς ἄνθρωπος, Σταυρὸν καταδεξάμενος ἐζώωσε, τοὺς αὐτῷ βοῶντας·

χαῖρε Σταυρὲ, τῆς εἰρήνης ὅπλον· χαῖρε βαλβὶς, τῶν ὁδοιπορούντων.

χαῖρε σωζομένων σοφία καὶ στήριγμα· χαῖρε ἀπολλυμένων, μωρία καὶ σύντριμμα.

χαῖρε εὔκαρπον, ἀθάνατον, καὶ ζωηφόρον φυτόν· χαῖρε ἄνθος ὅπερ ἤνθησε, τὴν σωτηρίαν ἡμῶν.



χαῖρε ὅτι συνάπτεις, τὰ ἐν γῇ σὺν τοῖς ἄνω· χαῖρε ὅτι φωτίζεις τὰς καρδίας τῶν κάτω.

χαῖρε δι' οὗ, φθορὰ ἐξωστράκισται· χαῖρε δι' οὗ, ἡ λύπη ἠφάνισται.

χαῖρε καλῶν, μυριάριθμος ὄλβος· χαῖρε πιστῶν, μυριώνυμον εὖχος.

Χαῖρε Ξύλον μακάριον.

Πέπτωκε τῶν δαιμόνων, ἡ παμβέβηλος φάλαγξ, καὶ γένος τῶν Ἑβραίων ᾐσχύνθη· προσκυνούμενον τὸν Σταυρὸν παρὰ πάντων, μετὰ πόθου βλέποντες, ἀεὶ δὲ ἀναβλύζοντα ἰάματα τοῖς ἐκβοῶσιν·

Ἀλληλούϊα.

Ῥεύματα συνεστάλη, λογισμῶν κακοδόξων, παγέντος σου Χριστὲ ἐπὶ ξύλου· ἀποροῦσι γὰρ ὄντως τὸ Πῶς, καὶ Σταυρὸν ὑπέστης καὶ φθορὰν πέφευγας· ἡμεῖς δὲ τὴν Ἀνάστασιν δοξάζοντες, ἀναβοῶμεν·

χαῖρε σοφίας Θεοῦ τὸ ὕψος· χαῖρε προνοίας αὐτοῦ τὸ βάθος.

χαῖρε μωρολόγων ἀλόγων ἡ ἄγνοια· χαῖρε μαντιπόλων, ἀφρόνων ἀπώλεια.

χαῖρε ὅτι τὴν ἀνάστασιν, ἐμφανίζεις τοῦ Χτιστοῦ· χαῖρε ὅτι τὰ παθήματα, ἀνακαινίζεις αὐτοῦ.

χαῖρε τῶν πρωτοπλάστων τὴν παράβασιν λύσας· χαῖρε τοῦ Παραδείσου, τὰς εἰσόδους ἀνοίξας.

χαῖρε Σταυρὲ, τοῖς πᾶσι σεβάσμιε· χαῖρε ἐθνῶν ἀπίστων ἀντίπαλε.

χαῖρε Στουρὲ ἰατρὲ τῶν νοσούντων· χαῖρε ἀεὶ βοηθὲ τῶν βοώντων·

Χαῖρε Ξύλον μακάριον.

Σῶσαι θέλων τὸν κόσμον, ὁ τοῦ κόσμου κοσμήτωρ, κατῆλθε πρὸς αὐτὸν ἀποῤῥήτως· καὶ Σταυρὸν ὑπέστη, Θεὸς ὤν, δι᾽ ἡμᾶς τὰ πάντα καθ᾽ ἡμᾶς δέχεται· διὸ καὶ λυτρωσάμενος ἡμᾶς ἀκούει παρὰ πάντων.

Ἀλληλούϊα.

Τεῖχος τῆς οἰκουμένης, ὦ Σταυρὲ ζωηφόρε, ἀπόρθητον καὶ θεῖον νοοῦμεν· ὁ γὰρ τοῦ οὐρανοῦ καὶ τῆς γῆς κατασκευάσας σε ποιητὴς τάννυσι τὰς χεῖρας, ξένον ἄκουσμα· καὶ ἅπαντας ἐκφωνεῖν διδάσκει·

χαῖρε ἡ βάσις τῆς εὐσεβείας· χαῖρε τὸ νῖκος τῆς κληρουχίας.
χαῖρε Ἀμαλὴκ νοητὸν ὁ τροπούμενος· χαῖρε Ἰακὼβ ταῖς χερσὶ προτυπούμενος.
χαῖρε σὺ γὰρ ἀνεμόρφωσας τὰς παλαιτάτας σκιάς· χαῖρε σὺ γὰρ ἀνεπλήρωσας προφητοφθέγκτους φωνάς.
χαῖρε ὁ τὸν Σωτῆρα τῶν ἁπάντων βαστάσας· χαῖρε ὁ τὸν φθορέα τῶν ψυχῶν καταργήσας.
χαῖρε δι᾽ οὗ Ἀγγέλοις ἡνώθημεν· χαῖρε δι᾽ οὗ φωτὶ κατηυγάσθημεν.
χαῖρε σὲ γὰρ προσκυνοῦμεν τιμῶντες· χαῖρε σοὶ γὰρ προσφωνοῦμεν βοῶντες·

Χαῖρε Ξύλον μακάριον.

Ὕμνος ἅπας μειοῦται, συνακολουθεῖν θέλων, τῷ πλήθει τῶν πολλῶν σου θαυμάτων· ἐγκωμίων πληθὺν καὶ γὰρ ἂν προσάξωμέν σοι, ὦ Σταυρὲ τίμιε, οὐδὲν τελοῦμεν ἄξιον, ὧν δέδωκας ἡμῖν, ἀλλ᾽ οὖν βοῶμεν·

Ἀλληλούϊα.

Φωτοπάροχον αἴγλην, τοῖς ἐν σκότει δωρεῖται, Σταυρὸς ὁ ζωοδώρητος οὗτος· τὸ γὰρ ἄϋλον δέδεκται φῶς, καὶ πρὸς γνῶσιν θείαν δαδουχεῖ ἅπαντας· ὑψοῖ δὲ νῦν ὑψούμενος τὸν νοῦν ἡμῶν, ἀναμέλπειν ταῦτα·



χαῖρε φωστὴρ, τοῖς ἐν σκότει φαίνων· χαῖρε ἀστὴρ, τὸν κόσμον αὐγάζων.
χαῖρε ἀστραπὴ, χριστοκτόνους ἀμβλύνουσα· χαῖρε ἡ βροντὴ, τοὺς ἀπίστους ἐκπλήττουσα.
χαῖρε ὅτι κατελάμπρυνας, Ὀρθοδόξων τοὺς χορούς· χαῖρε ὅτι κατηδάφισας, τῶν εἰδώλων τοὺς βωμούς.
χαῖρε οὗπερ ὁ τύπος, οὐρανόθεν ἐφάνη· χαῖρε οὗπερ ἡ χάρις, πονηρίας ἐλαύνει.
χαῖρε σαρκὸς, σημαίνων τὴν νέκρωσιν· χαῖρε παθῶν, ὁ κτείνων ἐπέγερσιν.
χαῖρε ἐν ᾧ, ὁ Χριστὸς ἐσταυρώθη· χαῖρε δι᾽ οὗ, πᾶς ὁ κόσμος ἐσώθη.

Χαῖρε Ξύλον μακάριον.

Χάριν δοῦναι θελήσας, ὁ Χριστὸς τοῖς ἀνθρώποις, τὰς χεῖρας ἐπὶ ξύλου ἐκτείνει· καὶ τὰ ἔθνη πάντα συγκαλεῖ, καὶ βασιλείαν πᾶσιν οὐρανῶν δίδωσι, τοῖς μέλπουσι τὸν ὕμνον ἐπαξίως, καὶ πιστῶς βοῶσιν·

Ἀλληλούϊα.

Ψάλλοντές σου τὸν ὕμνον, εὐφημοῦμεν ἐκ πόθου, ὡς ἔμψυχον Κυρίου σε Ξύλον· ἐπὶ σοὶ γὰρ παγεὶς ἐν σαρκὶ, ὁ δεσπόζων τῶν ἄνω δυνάμεων, ἡγίασεν, ἐδόξασεν, ἐδίδαξε, βοᾶν σοι ταῦτα·

χαῖρε Σταυρὲ νοητὴ ῥομφαία· χαῖρε Ἁγίων ἅγιον βλέμμα.
χαῖρε Προφητῶν καὶ Δικαίων προκήρυγμα· χαῖρε τοῦ Χριστοῦ λαμπροφόρον στρατήγημα.

χαῖρε κάλλος καὶ διάδημα βασιλέων εὐσεβῶν· χαῖρε κράτος καὶ ὀχύρωμα ἱερέων εὐλαβῶν.
χαῖρε τῆς ἀληθείας εὐκλεέστατος κόσμος· χαῖρε τῆς σωτηρίας εὐτυχέστατος ὅρμος.
χαῖρε φαιδρὸν ἁπάντων ἀγλάϊσμα· χαῖρε υἱῶν τῆς Ἄγαρ φυγάδευμα.
χαῖρε φωτὸς ἀκηράτου λυχνία· χαῖρε ψυχῆς τῆς ἐμῆς θυμηδία.

Χαῖρε Ξύλον μακάριον.

Ὦ πανύμνητον Ξύλον, τὸ βαστάσαν τὸν πάντων Ἁγίων ἁγιώτατον Λόγον· δεδεγμένον ἡμῶν τὰς λιτάς, ἀπὸ πάσης ῥῦσαι συμφορᾶς ἅπαντας, καὶ αἰωνίου λύτρωσαι κολάσεως, τοὺς σοὶ βοῶντας·

Ἀλληλούϊα.

**Καὶ πάλιν, Ἄγγελοι οὐρανόθεν, ἕως τοῦ, Χαῖρε ξύλον μακάριον**
**Εἶτα τό, Ὦ Τρισμακάριστε Σταυρὲ κτλ.**
**Ἐκτενὴς καὶ Ἀπόλυσις.**

## ΤΗ ΙΔ΄. ΣΕΠΤΕΜΒΡΙΟΥ.

### Η ΥΨΩΣΙΣ

# ΤΟΥ ΤΙΜΙΟΥ ΚΑΙ ΖΩΟΠΟΙΟΥ ΣΤΑΥΡΟΥ.

### Ἐν τῷ μεγάλῳ Ἑσπερινῷ.

**Μετὰ τὸν Προοιμιακὸν Ψαλμόν, εἰ μέν ἐστι Κυριακή, στιχολογοῦμεν τὸ Μακάριος ἀνήρ, τὸ κάθισμα ὅλον. εἰδ᾽ οὔ, μετὰ τὸν Προοιμιακόν, εὐθὺς τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν δὲ στίχ. ή. καὶ ψάλλομεν στιχηρά, εἰς ἦχον πλ. β΄.**

**Ὅλην ἀποθέμενοι.**

Σταυρὸς ἀνυψούμενος, τοῦ ἐν αὐτῷ ὑψωθέντος, τὸ Πάθος τὸ ἄχραντον, ἀνυμνεῖν προτρέπεται Κτίσιν ἅπασαν. Ἐν αὐτῷ κτείνας γάρ, τὸν ἡμᾶς κτείναντα, νεκρωθέντας ἀνεζώωσε, καὶ κατεκάλλυνε, καὶ εἰς Οὐρανοὺς πολιτεύεσθαι, ἠξίωσεν ὡς Εὔσπλαγχνος, δι᾽ ὑπερβολὴν ἀγαθότητος. Ὅθεν γεγηθότες, ὑψώσωμεν τὸ ὄνομα αὐτοῦ· καὶ τὴν αὐτοῦ μεγαλύνωμεν, ἄκραν συγκατάβασιν.

Μωσῆς προετύπου Σέ, χεῖρας ἐκτείνας εἰς ὕψος, καὶ κατατροπούμενος, Ἀμαλὴκ τὸν τύραννον, Σταυρὲ τίμιε, τῶν Πιστῶν καύχημα, Ἀθλητῶν στήριγμα, Ἀποστόλων ἐγκαλλώπισμα, Δικαίων πρόμαχε, πάντων τῶν Ὁσίων διάσωσμα. Διό σε ἀνυψούμενον, βλέπουσα ἡ Κτίσις εὐφραίνεται, καὶ πανηγυρίζει, δοξάζουσα Χριστὸν τὸν διὰ Σοῦ, τὰ διεστῶτα συνάψαντα, ἄκρᾳ ἀγαθότητι.

Σταυρὲ πανσεβάσμιε, ὃν περιέπουσι τάξεις, Ἀγγέλων γηθόμεναι, σήμερον ὑψούμενος Θείῳ νεύματι,

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑ

ἀνυψεῖς ἅπαντας, τοὺς κλοπῇ βρώσεως, ἀπωσθέντας καὶ εἰς θάνατον, κατολισθήσαντας. Ὅθεν σε καρδίᾳ καὶ χείλεσι, πιστῶς περιπτυσσόμενοι, τὸν ἁγιασμὸν ἀρυόμεθα· ὑψοῦτε βοῶντες, Χριστὸν τὸν ὑπεράγαθον Θεὸν, καὶ τὸ αὐτοῦ προσκυνήσωμεν, θεῖον ὑποπόδιον.

Δόξα. καὶ νῦν ἦχος β΄.

Δεῦτε ἅπαντα τὰ Ἔθνη, τὸ εὐλογημένον Ξύλον προσκυνήσωμεν, δι᾿ οὗ γέγονεν ἡ αἰώνιος Δικαιοσύνη· τὸν γὰρ Προπάτορα Ἀδὰμ ὁ ἀπατήσας ἐν ξύλῳ, τῷ Σταυρῷ δελεάζεται, καὶ πίπτει κατενεχθεὶς πτῶμα ἐξαίσιον, ὁ τυραννίδι κρατήσας τοῦ βασιλείου πλάσματος. Αἵματι Θεοῦ, ὁ ἰὸς τοῦ ὄφεως ἀποπλύνεται· καὶ κατάρα λέλυται καταδίκης δικαίας, ἀδίκῳ δίκῃ τοῦ Δικαίου κατακριθέντος. Ξύλῳ γὰρ ἔδει τὸ ξύλον ἰάσασθαι, καὶ Πάθει τοῦ ἀπαθοῦς, τὰ ἐν ξύλῳ λῦσαι πάθη τοῦ κατακρίτου. Ἀλλὰ δόξα Χριστὲ Βασιλεῦ τῇ περὶ ἡμᾶς σου φρικτῇ οἰκονομίᾳ, δι᾿ ἧς ἔσωσας πάντας, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Εἴσοδος. Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα.

Τῆς Ἐξόδου τὸ Ἀνάγνωσμα.

Ἐξῆρε Μωϋσῆς τοὺς Υἱοὺς Ἰσραὴλ ἀπὸ θαλάσσης ἐρυθρᾶς, καὶ ἤγεν αὐτοὺς εἰς τὴν ἔρημον Σοὺρ, καὶ ἐπορεύοντο τρεῖς ἡμέρας ἐν τῇ ἐρήμῳ καὶ οὐχ εὕρισκον ὕδωρ ὥστε πιεῖν. Ἦλθον δὲ εἰς Μεῤῥὰν, καὶ οὐκ ἠδύναντο πιεῖν ὕδωρ ἐκ Μεῤῥᾶς, πικρὸν γὰρ ἦν· διὰ τοῦτο ἐπωνομάσθη τὸ ὄνομα τοῦ τόπου ἐκείνου, Πικρία. Καὶ διεγόγγυζεν ὁ λαὸς κατὰ Μωϋσῆ, λέγοντες, τί πιώμεθα; Ἐβόησε δὲ Μωϋσῆς πρὸς Κύριον, καὶ ἔδειξεν αὐτῷ Κύριος ξύλον, καὶ ἐνέβαλεν αὐτὸ εἰς τὸ ὕδωρ, καὶ ἐγλυκάνθη τὸ ὕδωρ. Ἐκεῖ ἔθετο αὐτῷ ὁ Θεὸς δικαιώματα καὶ κρίσεις, καὶ ἐκεῖ αὐτὸν ἐπείραζε, καὶ εἶπεν· Ἐὰν ἀκοῇ ἀκούσῃ τῆς φωνῆς Κυρίου τοῦ Θεοῦ σου, καὶ τὰ ἀρεστὰ ἐνώπιον αὐτοῦ ποιήσῃς, καὶ ἐνωτίσῃ τὰς ἐντολὰς αὐτοῦ, καὶ φυλάξῃς πάντα τὰ δικαιώματα αὐτοῦ, πᾶσαν νόσον ἣν ἐπήγαγον τοῖς Αἰγυπτίοις, οὐκ ἐπάξω ἐπὶ σέ. Ἐγὼ γάρ εἰμι Κύριος



ὁ Θεός σου, ὁ ἰώμενός σε. Καὶ ἦλθον εἰς Ἐλεὶμ, καὶ ἦσαν ἐκεῖ δώδεκα πηγαὶ ὑδάτων καὶ ἑβδομήκοντα στέλεχοι φοινίκων. Παρενέβαλον δὲ ἐκεῖ παρὰ τὰ ὕδατα. Ἀπῆραν δὲ ἐξ Ἐλεὶμ, καὶ ἦλθε πᾶσα ἡ συναγωγὴ Υἱῶν Ἰσραὴλ, εἰς τὴν ἔρημον Σὶν, ὅ ἐστιν ἀναμέσον Ἐλεὶμ, καὶ ἀναμέσον Σινᾶ.

Παροιμιῶν τὸ Ἀνάγνωσμα.

Υἱὲ, μὴ ὀλιγώρει παιδείας Κυρίου, μηδὲ ἐκλύου ὑπ᾿ αὐτοῦ ἐλεγχόμενος. Ὃν γὰρ ἀγαπᾷ Κύριος, παιδεύει· μαστιγοῖ δὲ πάντα υἱὸν, ὃν παραδέχεται. Μακάριος ἄνθρωπος, ὃς εὗρε σοφίαν, καὶ θνητὸς, ὃς οἶδε φρόνησιν. Κρεῖσσον γὰρ αὐτὴν ἐμπορεύεσθαι, ἢ χρυσίου καὶ ἀργυρίου θησαυρούς. Τιμιωτέρα δέ ἐστι λίθων πολυτελῶν· οὐκ ἀντιτάσσεται αὐτῇ οὐδὲν πονηρόν· εὔγνωστός ἐστι πᾶσι τοῖς ἀγαπῶσιν αὐτήν· πᾶν δὲ τίμιον, οὐκ ἄξιον αὐτῆς ἐστι. Μῆκος γὰρ βίου, καὶ ἔτη ζωῆς ἐν τῇ δεξιᾷ αὐτῆς, ἐν δὲ τῇ ἀριστερᾷ αὐτῆς πλοῦτος καὶ δόξα. Ἐκ τοῦ στόματος αὐτῆς ἐκπορεύεται Δικαιοσύνη· νόμον δὲ καὶ ἔλεον, ἐπὶ γλώσσης φορεῖ. Αἱ ὁδοὶ αὐτῆς, ὁδοὶ καλαὶ, καὶ πᾶσαι αἱ τρίβοι αὐτῆς μετ᾿ εἰρήνης. Ξύλον ζωῆς ἐστι πᾶσι τοῖς ἀντεχομένοις αὐτῆς, καὶ τοῖς ἐπερειδομένοις ἐπ᾿ αὐτήν· ὡς ἐπὶ Κύριον ἀσφαλής.

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.

Τάδε λέγει Κύριος· ἀνοιχθήσονται αἱ πύλαι σου Ἱερουσαλὴμ διὰ παντὸς, ἡμέρας καὶ νυκτός· καὶ οὐ κλεισθήσονται τοῦ εἰσαγαγεῖν πρὸς σὲ δύναμιν Ἐθνῶν, καὶ Βασιλεῖς αὐτῶν ἀγομένους. Τὰ γὰρ Ἔθνη καὶ οἱ Βασιλεῖς, οἵτινές σοι οὐ δουλεύσουσιν, ἀπολοῦνται, καὶ τὰ Ἔθνη ἐρημίᾳ ἐρημωθήσονται. Καὶ ἡ δόξα τοῦ Λιβάνου πρὸς σὲ ἥξει, ἐν κυπαρίσσῳ, καὶ πεύκῃ καὶ κέδρῳ ἅμα δοξάσαι τὸν τόπον τὸν ἅγιόν μου καὶ τὸν τόπον τῶν ποδῶν μου δοξάσω. Καὶ πορεύσονται πρὸς σὲ δεδοικότες οἱ υἱοὶ τῶν ταπεινωσάντων σε, καὶ παροξυνάντων σε· καὶ προσκυνήσουσιν ἐπὶ τὰ ἴχνη τῶν ποδῶν σου πάντες οἱ παροξύναντές σε· καὶ κληθήσῃ Πόλις Κυρίου Σιὼν τοῦ ἁγίου Ἰσραὴλ, διὰ τὸ γεγενῆσθαί σε καταλελειμμένην, καὶ μεμισημένην, καὶ οὐκ ἦν ὁ βοηθῶν σοι· καὶ θήσω σε ἀγαλλίαμα αἰώνιον, εὐφροσύνην γενεαῖς γενεῶν. Καὶ θηλάσεις γάλα Ἐθνῶν, καὶ πλοῦτον Βασιλέων φάγεσαι· καὶ γνώσῃ, ὅτι ἐγὼ Κύριος ὁ σώζων σε, καὶ ὁ ἐξαιρούμενός σε ὁ Θεὸς Ἰσραήλ.

Εἰς τὴν Λιτὴν στιχηρ. Ἰδιόμελ. ἦχος ά.

Ἀνδρέου Ἱεροσολυμίτου.

Σήμερον ὡς ἀληθῶς, ἡ ἁγιόφθογγος ῥῆσις τοῦ Δαβὶδ πέρας εἴληφεν· ἰδοὺ γὰρ ἐμφανῶς τὸ τῶν ἀχράν-

των ποδῶν σου προσκυνοῦμεν ὑποπόδιον, καὶ ἐν τῇ τῶν πτερύγων σου ἐλπίζοντες σκιᾷ, Πανοικτίρμων βοῶμέν σοι· σημειωθήτω ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου, τοῦ Ὀρθοδόξου λαοῦ σου τὸ κέρας ἀνυψῶν, τῇ τοῦ τιμίου Σταυροῦ σου ἀνυψώσει Χριστὲ Πολυέλεε. Ὁ αὐτός.

Τὸ φυτευθὲν ἐν κρανίῳ τόπῳ ξύλον τῆς ὄντως ζωῆς, ἐν ᾧ εἰργάσατο Σωτηρίαν ὁ τῶν αἰώνων Βασιλεὺς· ἐν μέσῳ τῆς γῆς, ὑψούμενον σήμερον, ἁγιάζει τοῦ Κόσμου τὰ πέρατα, καὶ ἐγκαινίζεται τῆς Ἀναστάσεως ὁ οἶκος· ἀγάλλονται Ἄγγελοι ἐν οὐρανῷ, καὶ εὐφραίνονται ἄνθρωποι ἐπὶ τῆς γῆς, δαβιτικῶς βοῶντες καὶ λέγοντες· ὑψοῦται Κύριον τὸν Θεὸν ἡμῶν, καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ, ὅτι Ἅγιός ἐστιν, ὁ παρέχων τῷ Κόσμῳ τὸ μέγα ἔλεος. Ὁ αὐτός.

Προτυπῶν τὸν Σταυρόν σου Χριστὲ, ὁ Πατριάρχης Ἰακὼβ, τοῖς ἐγγόνοις τὴν εὐλογίαν χαριζόμενος, ἐπὶ ταῖς κάραις ἐναλλὰξ τὰς χεῖρας πεποίηκε· τοῦτον δὲ Σωτὴρ ἡμεῖς σήμερον ἀνυψοῦντες κραυγάζομεν· δώρησαι τῷ φιλοχρίστῳ βασιλεῖ τὸ νῖκος ἐν Κωνσταντίνῳ τὸ τρόπαιον. Ἦχος β'. Θεοφάνους.

Θεῖος θησαυρὸς ἐν γῇ κρυπτόμενος, τοῦ Ζωοδότου ὁ Σταυρὸς, ἐν οὐρανοῖς ἐδείκνυτο βασιλεῖ εὐσεβεῖ, καὶ νίκας κατ' ἐχθρῶν, ὑπογραμμὸς δηλῶν νοερῶς· ὃν γεγηθὼς πίστει καὶ φόβῳ, θεόθεν ἀναδραμὼν, πρὸς θεωρίας ὕψωσιν, σπουδῇ δὲ τοῦτον ἐκ γῆς λαγόνων ἀνέθωρεν, εἰς Κόσμου λύτρον, καὶ σωτηρίαν τῶν ψυχῶν ἡμῶν. Ὁ αὐτός. Κυπριανοῦ.

Ἡ τῶν χειρῶν ἀναλλαγὴ τοῦ Πατριάρχου Ἰακὼβ, ἐπ' εὐλογίᾳ τῶν τέκνων, τὸ κραταιὸν τοῦ Σταυροῦ



σου προεδήλωσε σύμβολον, ὅνπερ ἡμεῖς κατέχοντες, ἀῤῥαγὲς φυλακτήριον, τὴν τῶν δαιμόνων πανσθενῶς ἐκδιώκομεν φάλαγγα, καὶ τοῦ Βελίαρ ἐν αὐτῷ, τὴν ὀφρὺν καταβαλλόντες, τοῦ ἐχθίστου Ἀμαλὴκ τροπούμεθα τὴν πανόλεθρον δύναμιν· αὐτὸν καὶ νῦν ἀνυψούμενον εὐσεβοφρόνως οἱ πιστοὶ, εἰς ἱλασμὸν ἁμαρτιῶν, τῇ σῇ ἀγαθότητι, ἐν πολλῷ πλείονι φωνῇ βοῶντες προσφέρομεν· Κύριε ἐλέησον ὁ ἐκ Παρθένου σαρκωθεὶς, οἴκτειρον τὸ τῶν χειρῶν σου, Ἀγαθὲ σοφὸν δημιούργημα.

Ὁ αὐτὸς Λέοντος Δεσπότου.

Σύ μου σκέπη κραταιὰ, ὑπάρχεις ὁ τριμερὴς Σταυρὸς τοῦ Χριστοῦ, ἁγίασόν με τῇ δυνάμει σου, ἵνα πίστει, καὶ πόθῳ προσκυνῶ, καὶ δοξάζω σε.

Ἦχος δ'.

Κροτήσωμεν σήμερον ἀσματικὴν πανήγυριν, καὶ φαιδρῷ τῷ προσώπῳ, καὶ τῇ γλώττῃ τρανῶς βοήσωμεν· ὁ δι' ἡμᾶς Χριστὲ, κρίσιν καταδεξάμενος καὶ ἐμπτισμοὺς καὶ μάστιγας, καὶ τὸ κόκκινον περιβαλλόμενος, καὶ ἐν Σταυρῷ ἀνελθὼν, ὃν ἰδὼν ὁ Ἥλιος καὶ ἡ Σελήνη, τὸ φέγγος ἀπέκρυψε, καὶ τῷ φόβῳ γῆ ἐσείετο, καὶ τὸ καταπέτασμα τοῦ Ναοῦ ἐσχίσθη διχῶς· αὐτὸς καὶ νῦν δώρησαι τὸν Σταυρόν σου τὸν τίμιον, ἡμῖν φρουρὸν καὶ φύλακα, καὶ ἐλατῆρα τῶν δαιμόνων, ἵνα πάντες προσπτυσσόμενοι, βοῶμεν αὐτῷ· σῶσον ἡμᾶς Σταυρὲ τῇ δυνάμει σου, ἁγίασον ἡμᾶς τῇ λαμπρότητί σου τίμιε Σταυρὲ, καὶ κραταίωσον ἡμᾶς τῇ ὑψώσει σου· ὅτι φῶς ἡμῖν δεδώρηται, καὶ σωτηρία τῶν ψυχῶν ἡμῶν.

Ὁ αὐτός. Ἀνατολίου.

Φωτολαμπὴς ἀστέρων τύπος, προεδείκνυε Σταυρὲ, τρόπαιον νίκης εὐσεβεῖ Ἄνακτι τῷ πάνυ· οὗ ἡ

μήτηρ Ἑλένη ἀνευραμένη κοσμοφανῆ πεποίηκε, καὶ σὲ σήμερον ἀνυψοῦντες τῶν πιστῶν χορεῖαι κραυγάζομεν· φώτισον ἡμᾶς τῇ ἐλλάμψει σου Σταυρὲ ζωηφόρε, ἁγίασον ἡμᾶς, τῇ ἰσχύϊ σου πανσέβαστε Σταυρὲ, καὶ κράτυνον ἡμᾶς τῇ ὑψώσει σου, ὑψούμενος πρὸς παράταξιν ἐχθρῶν.

Δόξα, καὶ νῦν, ὁ αὐτός. Ἀνατολίου.

Τοῦ τιμίου Σταυροῦ Χριστὲ τὴν ἐνέργειαν, προδιατυπώσας Μωϋσῆς, ἐτροπώσατο τὸν ἐναντίον Ἀμαλὴκ, ἐν τῇ ἐρήμῳ Σινᾶ· ὅταν γὰρ ἐφήπλου τὰς χεῖρας, Σταυροῦ τὸν τύπον ποιῶν, ἐνίσχυεν ὁ λαός· νυνὶ δὲ τῶν πραγμάτων ἡ ἔκβασις εἰς ἡμᾶς πεπλήρωται, σήμερον Σταυρὸς ὑψοῦται, καὶ δαίμονες φυγαδεύονται· σήμερον ἡ Κτίσις πᾶσα ἐκ τῆς φθορᾶς ἠλευθέρωται· πάντα γὰρ διὰ Σταυροῦ, ἐπέλαμψεν ἡμῖν τὰ χαρίσματα· διὸ γηθόμενοι πάντες, προσπίπτομέν σοι λέγοντες, ὡς ἐμεγαλύνθη τὰ ἔργα σου Κύριε, δόξα σοι.

Εἰς τὸν στίχ: στιχηρὰ προσόμοια, ἦχος πλ: ά.
Χαίροις ἀσκητικῶν ἀληθῶς.

Χαίροις ὁ ζωηφόρος Σταυρὸς, τῆς εὐσεβείας τὸ ἀήττητον τρόπαιον, ἡ θύρα τοῦ Παραδείσου, ὁ τῶν πιστῶν στηριγμὸς, τὸ τῆς Ἐκκλησίας περιτείχισμα· δι' οὗ ἐξηφάνισται, ἡ φθορὰ καὶ κατήργηται, καὶ κατεπόθη, τοῦ θανάτου ἡ δύναμις, καὶ ὑψώθημεν, ἀπὸ γῆς πρὸς οὐράνια. Ὅπλον ἀκαταμάχητον, δαιμόνων ἀντίπαλε, δόξα Μαρτύρων Ὁσίων, ὡς ἀληθῶς ἐγκαλλώπισμα, λιμὴν σωτηρίας, ὁ δωρούμενος τῷ Κόσμῳ, τὸ μέγα ἔλεος,

στίχ. Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν.

Χαίροις ὁ τοῦ Κυρίου Σταυρὸς, δι' οὗ ἐλύθη τῆς ἀρᾶς τὸ ἀνθρώπινον, τῆς ὄντως χαρᾶς σημεῖον, ὁ ταράσσων ἐχθροὺς, ἐν τῇ σῇ Ὑψώσει Πανσεβάσμιε· ἡμῶν ἡ βοήθεια, Βασιλέων κραταίωμα, σθένος δικαίων, Ἐκκλησιῶν ἡ εὐπρέπεια, ὁ τυπούμενος, καὶ δεινῶν ἐκλυτρούμενος, ῥάβδος ἡ τῆς δυνάμεως, ὑφ' ἧς ποιμαινόμεθα, ὅπλον εἰρήνης ἐν φόβῳ, ὃ περιέπουσιν Ἄγγελοι, Χριστοῦ θεία δόξα, τοῦ παρέχοντος τῷ Κόσμῳ τὸ μέγα ἔλεος.



στίχ. Ὁ δὲ Θεὸς Βασιλεὺς ἡμῶν.

Χαίροις ὁ τῶν τυφλῶν ὁδηγὸς, τῶν ἀσθενούντων ἰατρὸς ἡ ἀνάστασις, ἁπάντων τῶν τεθνεώτων, ὁ ἀνυψώσας ἡμᾶς, εἰς φθορὰν πεσόντας Σταυρὲ Τίμιε· δι' οὗ διαλέλυται, ἡ φθορὰ καὶ ἐξήνθησεν, ἡ ἀφθαρσία, καὶ βροτοὶ ἐθεώθημεν, καὶ διάβολος παντελῶς καταβέβληται. Σήμερον ἀνυψούμενος, χερσὶ καθορῶντές σε, Ἀρχιερέων ὑψοῦμεν, τὸν ὑψωθέντα ἐν μέσῳ σου, καὶ σὲ προσκυνοῦμεν, ἀρυόμενοι πλουσίως τὸ μέγα ἔλεος.

Δόξα. καὶ νῦν. ἦχος πλ. δ'.
Ἰωάννου Μοναχοῦ.

Ὅνπερ πάλαι Μωϋσῆς, προτυπώσας ἐν ἑαυτῷ, τὸν Ἀμαλὴκ καταβαλὼν ἐτροπώσατο· καὶ Δαβὶδ ὁ μελῳδὸς, ὑποπόδιόν σοι βοῶν, προσκυνεῖσθαι διετάξατο, Τίμιον Σταυρόν σου Χριστὲ ὁ Θεὸς, σήμερον ἁμαρτωλοὶ προσκυνοῦμεν, χείλεσιν ἀναξίοις, σὲ τὸν καταξιώσαντα παγῆναι ἐν αὐτῷ, ἀνυμνοῦντες βοῶμέν σοι, Κύριε σὺν τῷ Λῃστῇ, τῆς Βασιλείας σου ἀξίωσον ἡμᾶς.

Τροπάριον, ἦχος ά.

Σῶσον Κύριε τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου, νίκας τοῖς Βασιλεῦσι κατὰ Βαρβάρων δωρούμενος· καὶ τὸ σὸν φυλάττων, διὰ τοῦ Σταυροῦ σου πολίτευμα. ἐκ γ'.

Εἰς τὸν Ὄρθρον, μετὰ τὴν ά. ςιχολ. κάθ. ἦχος, ά.
Τοῦ λίθου σφραγισθέντος.

Τοῦ Σταυροῦ σου τὸ Ξύλον προσκυνοῦμεν φιλάνθρωπε, ὅτι ἐν αὐτῷ προσηλώθης ἡ ζωὴ τῶν ἁπάντων· Παράδεισον ἠνέῳξας Σωτὴρ, τῷ πίστει προσελθόντι σοι Λῃστῇ· καὶ τρυφῆς κατηξιώθη ὁμολογῶν σοι, μνήσθητί μου Κύριε. Δέξαι ὥςπερ ἐκεῖνον καὶ ἡμᾶς, κραυγάζοντας ἡμάρτομεν, πάντες τῇ εὐσπλαγχνίᾳ σου, μὴ ὑπερίδῃς ἡμᾶς. Δίς.

Μετὰ τὴν β΄. ςιχολ. κάθ. ἦχος πλ. β΄.

Μόνον ἐπάγη τὸ ξύλον Χριστὲ τοῦ Σταυροῦ σου, τὰ θεμέλια ἐσαλεύθη τοῦ θανάτου Κύριε· ὃν γὰρ κατέπιε πόθῳ ὁ ᾅδης, ἀπέλυσε τρόμῳ· ἔδειξας ἡμῖν, τὸ σωτήριόν σου Ἅγιε, καὶ δοξολογοῦμέν σε Υἱὲ Θεοῦ, ἐλέησον ἡμᾶς. Δίς.

Ἕτερον Κάθ. μετὰ τὸν Πολυέλ. κάθ. ἦχος πλ. δ΄. Τὸ προςαχθέν.

Προδιετύπου μυστικῶς πάλαι τῷ χρόνῳ, ὁ Ἰησοῦς ὁ τοῦ Ναυῆ, Σταυροῦ τὸν τύπον, ὡς τὰς χεῖρας ἐξέτεινε σταυροφανῶς Σωτήρ μου, καὶ ἔστη ὁ Ἥλιος ἕως ἐχθροὺς ἀνεῖλεν, ἀνθισταμένους σοι τῷ Θεῷ· νῦν δὲ ἔδυ ἐπὶ Σταυροῦ σε ὁρῶν, καὶ κράτος θανάτου λύσαντα καὶ τὸν Κόσμον ἐγείραντα.

Οἱ Ἀναβαθ. τὸ ά. Ἀντίφ. τοῦ τετάρτ. ἤχου. Προκείμ. ἦχος δ΄.
ςχ. Εἴδοσαν πάντα τὰ πέρατα τῆς γῆς.
Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν.

Πᾶσα πνοή. Καὶ τὸ Εὐαγγέλιον ἐκ τοῦ κατὰ Ἰωάννην·
Εἶπεν ὁ Κύριος· Πάτερ δόξασόν σου τὸ ὄνομα.

Δεῖ εἰδέναι, ὡς εἰ τύχῃ ἡ Σεβάσμιος αὕτη Ἑορτὴ ἐν Κυριακῇ, οὐ λέγεται Εὐαγγέλιον Ἑωθινὸν, ἀλλὰ τὸ τῆς Ἑορτῆς· ἀλλ' οὐδέτις ἑτέρα Ἀκολουθία Ἀναστάσιμος γίνεται, ἀλλ' ἡ τῆς Ἑορτῆς καὶ μόνης. Λέγομεν δὲ κἂν ὁποίᾳ ἡμέρᾳ τύχῃ, τὸ, Ἀνάστασιν Χριστοῦ θεασάμενοι, τὸν Ν΄. Καὶ Ἰδιόμ. ἦχος πλ. β΄. Λέοντος Δεσπότου.



Σταυρὲ τοῦ Χριστοῦ, Χριστιανῶν ἡ ἐλπὶς, πεπλανημένων ὁδηγὲ χειμαζομένων λιμὴν, ἐν πολέμοις νῖκος, Οἰκουμένης ἀσφάλεια, νοσούντων Ἰατρὲ, νεκρῶν ἡ Ἀνάστασις, ἐλέησον ἡμᾶς.

Καὶ εὐθὺς ὁ Κανὼν, ὃς τήνδε τὴν ἀκροστιχίδα φέρει.
Σταυρῷ πεποιθὼς, ὕμνον ἐξερεύγομαι.

Ποίημα τοῦ Κυρίου Κοσμᾶ. Λέγομεν δὲ τοὺς Εἱρμοὺς ἐκ β΄. τὰ δὲ Τροπάρια ὁμοῦ εἰς, ιβ΄. ὕστερον δὲ πάλιν τὸν Εἱρμόν.
Ὠδὴ, ά. ἦχος, πλ. δ΄. Ὁ Εἱρμός.

» Σταυρὸν χαράξας Μωσῆς, ἐπ' εὐθείας ῥάβδῳ, τὴν
» Ἐρυθρὰν διέτεμε, τῷ Ἰσραὴλ πεζεύσαντι, τὴν δὲ
» ἐπιστρεπτικῶς, Φαραὼ τοῖς ἅρμασι κροτήσας ἥνωσεν·
» ἐπ' εὔρους διαγράψας, τὸ ἀήττητον ὅπλον, διὸ Χριστῷ
» ᾄσωμεν, τῷ Θεῷ ἡμῶν ὅτι δεδόξασται.

Τὸν τύπον πάλαι Μωσῆς, τοῦ ἀχράντου Πάθους, ἐν ἑαυτῷ προέφηνε, τῶν Ἱερῶν μεσούμενος. Σταυρῷ δὲ σχηματισθεὶς, τεταμέναις τρόπαιον παλάμαις ἤγειρε, τὸ κράτος διολέσας, Ἀμαλὴκ τοῦ πανώλους, διὸ Χριστῷ ᾄσωμεν, τῷ Θεῷ ἡμῶν ὅτι δεδόξασται.

Ἀνέθηκε Μωϋσῆς, ἐπὶ στήλης ἄκος, φθοροποιοῦ λυτήριον, καὶ ἰοβόλου δήγματος, καὶ ξύλῳ τύπῳ Σταυροῦ, τὸν πρὸς γῆν συρόμενον ὄφιν προσέδησεν· ἐγκάρσιον ἐν τούτῳ, θριαμβεύσας τὸ πῆμα, διὸ Χριστῷ ᾄσωμεν, τῷ Θεῷ ἡμῶν, ὅτι δεδόξασται.

Ὑπέδειξεν οὐρανὸς, τοῦ Σταυροῦ τὸ τρόπαιον, τῷ εὐσεβείας Κράτορι, καὶ Βασιλεῖ θεόφρονι, ἐχθρῶν ἐν ᾧ δυσμενῶν, κατεβλήθη φρύαγμα ἀπάτη ἀνετράπη δέ· καὶ πίστις ἐφηπλώθη, γῆς τοῖς πέρασι θεία, διὸ Χριστῷ ᾄσωμεν, τῷ Θεῷ ἡμῶν ὅτι δεδόξασται.

Καταβασία. Σταυρὸν χαράξας Μωσῆς.

Ὠδὴ, γ΄. Ὁ Εἱρμός.

» Ράβδος εἰς τύπον, τοῦ Μυστηρίου παραλαμβάνεται· » τῷ βλαστῷ γὰρ προκρίνει τὸν Ἱερέα, τῇ στειρευού- » σῃ δὲ πρώην, Ἐκκλησίᾳ νῦν ἐξήνθησε, ξύλον Σταυροῦ » εἰς κράτος καὶ στερέωμα.

Ὡς ἐπαφῆκε, ῥαπιζομένη ὕδωρ ἀκρότομος, ἀπειθοῦντι λαῷ καὶ σκληροκαρδίῳ, τῆς θεοκλήτου ἐδήλου, Ἐκκλησίας τὸ μυστήριον· ἧς ὁ Σταυρὸς τὸ κράτος καὶ στερέωμα.

Πλευρᾶς ἀχράντου, λόγχῃ τρωθείσης ὕδωρ σὺν αἵματι, ἐξεβλύθη ἐγκαινίζον διαθήκην, καὶ ῥυπτικὸν ἁμαρτίας, τῶν πιστῶν γὰρ Σταυρὸς καύχημα, καὶ Βασιλέων κράτος, καὶ στερέωμα.

Κάθ. Ἦχος πλ. δ΄. Τὸ προσταχθέν.

Ἐν Παραδείσῳ μὲν τὸ πρὶν ξύλῳ ἐγύμνωσεν, ἐπὶ τῇ γεύσει ὁ ἐχθρὸς εἰσφέρων νέκρωσιν, τοῦ Σταυροῦ δὲ τὸ ξύλον, τῆς ζωῆς τὸ ἔνδυμα, ἀνθρώποις φέρον ἐπάγη ἐπὶ τῆς γῆς, καὶ Κόσμος ὅλος ἐπλήσθη πάσης χαρᾶς· ὃν ὁρῶντες ὑψούμενον, Θεῷ ἐν πίστει λαοὶ, συμφώνως ἀνακράξωμεν, πλήρης δόξης ὁ οἶκός σου. Δίς.

Ὠδὴ δ΄. Ὁ Εἱρμός.

» Εἰσακήκοα Κύριε, τῆς οἰκονομίας σου τὸ Μυστή- » ριον, κατενόησα τὰ ἔργα σου, καὶ ἐδόξασά σου » τὴν Θεότητα.

Πικρογόνους μετέβαλε, ξύλῳ Μωϋσῆς πηγὰς ἐν ἐρήμῳ πάλαι, τῷ Σταυρῷ πρὸς τὴν εὐσέβειαν, τῶν Ἐθνῶν προφαίνων τὴν μετάθεσιν.

Ὁ Βυθῷ κολπωσάμενος, τέμνουσαν ἀνέδωκεν Ἰορδάνης ξύλῳ, τῷ Σταυρῷ καὶ τῷ βαπτίσματι, τὴν τομὴν τῆς πλάνης τεκμαιρόμενος.



Ἱερῶς προστοιβάζεται, ὁ τετραμερὴς λαὸς προηγούμενος, τῆς ἐν τύπῳ μαρτυρίου σκηνῆς, σταυροτύποις τάξεσι κλεϊζόμενος.

Θαυμαστῶς ἐφαπλούμενος, τὰς ἡλιακὰς βολὰς ἐξηκόντισεν, ὁ Σταυρὸς καὶ διηγήσαντο, οὐρανοὶ τὴν δόξαν τοῦ Θεοῦ ἡμῶν.

Ὠδὴ ε΄. Ὁ Εἱρμός.

» Ὢ Τρισμακάριστον Ξύλον, ἐν ᾧ ἐτάθη Χριστὸς, ὁ » Βασιλεὺς καὶ Κύριος· δι' οὗ πέπτωκεν ὁ ξύλῳ ἀ- » πατήσας, τῷ ἐν σοὶ δελεασθεὶς, Θεῷ τῷ προσπαγέντι » σαρκὶ, τῷ παρέχοντι, τὴν εἰρήνην ταῖς ψυχαῖς ἡμῶν.

Σὲ τὸ ἀοίδιμον Ξύλον, ἐν ᾧ ἐτάθη Χριστὸς, ἡ τὴν Ἐδὲμ φυλάττουσα, στρεφομένη ῥομφαία Σταυρὲ ἠδέσθη, τὸ φρικτὸν δὲ Χερουβὶμ, εἶξε τῷ σοὶ παγέντι Χριστῷ, τῷ παρέχοντι, τὴν εἰρήνην ταῖς ψυχαῖς ἡμῶν.

Ὑποχθονίων Δυνάμεις, ἀντίπαλοι τοῦ Σταυροῦ, φρίττουσι χαραττόμενον, τὸ σημεῖον ἐν ἀέρι ὡ πολοῦσιν, Οὐρανίων γηγενῶν, γένος δὲ γόνυ κάμπτει Χριστῷ, τῷ παρέχοντι, τὴν εἰρήνην ταῖς ψυχαῖς ἡμῶν.

Μαργαρυγαῖς ἀκηράτοις, φανεὶς ὁ Θεῖος Σταυρὸς, ἐσκοτισμένοις Ἔθνεσι, τοῖς ἐν πλάνῃ ἀπάτης τὸ θεῖον φέγγος, ἀπαστράψας οἰκειοῖ, τῷ ἐν αὐτῷ παγέντι Χριστῷ, τῷ παρέχοντι, τὴν εἰρήνην ταῖς ψυχαῖς ἡμῶν.

Ὠδὴ, ς΄. Ὁ Εἱρμός.

» Νοτίου θηρὸς ἐν σπλάγχνοις παλάμας Ἰωνᾶς, σταυ- » ροειδῶς διεκπετάσας, τὸ Σωτήριον Πάθος προ- » διετύπου σαφῶς· ὅθεν τριήμερος ἐκδὺς, τὴν ὑπερκό- » σμιον Ἀνάστασιν ὑπεζωγράφησε, τοῦ σαρκὶ προσπα- » γέντος Χριστοῦ τοῦ Θεοῦ, καὶ τριημέρῳ ἐγέρσει, τὸν » Κόσμον φωτίσαντος.

Ο Γήρα καμφθεὶς καὶ νόσῳ τρυχωθεὶς, ἀνωρθοῦτο Ἰακὼβ χεῖρας ἀμείψας, τὴν ἐνέργειαν φαίνων τοῦ ζωηφόρου Σταυροῦ· τὴν παλαιότητα καὶ γὰρ, τοῦ νομικοῦ σκιώδους γράμματος ἐκαινογράφησεν, ὁ ἐν τούτῳ σαρκὶ προσπαγεὶς Θεὸς, καὶ τὴν ψυχόλεθρον νόσον, τῆς πλάνης ἀπήλασε.

Νεαζούσαις θεὶς παλάμας ὁ θεῖος Ἰσραὴλ, σταυροειδῶς κάραις ἐδήλου· ὡς πρεσβύτερον κλέος ὁ νομολάτρις λαὸς ὑποπτευθεὶς, ὅθεν οὕτως ἐξηπατεῖσθαι, οὐκ ἠλλοίωσε τὸν ζωηφόρον τύπον· ὑπερέξει λαὸς γὰρ Χριστοῦ τοῦ Θεοῦ, νεοπαγεὶς ἀνεβόα, Σταυρῷ τειχιζόμενος.

Κοντάκιον. Ἦχος, δ'.

Ο Ὑψωθεὶς ἐν τῷ Σταυρῷ ἑκουσίως, τῇ ἐπωνύμῳ σου καινῇ πολιτείᾳ, τοὺς οἰκτιρμούς σου δώρησαι Χριστὲ ὁ Θεός. Εὔφρανον ἐν τῇ δυνάμει σου, τοὺς πιστοὺς Βασιλεῖς ἡμῶν, νίκας χορηγῶν αὐτοῖς, κατὰ τῶν πολεμίων, τὴν συμμαχίαν ἔχοιεν τὴν σὴν, ὅπλον εἰρήνης, ἀήττητον τρόπαιον.

Ὁ Οἶκος.

Ο μετὰ τρίτον Οὐρανὸν, ἀρθεὶς ἐν Παραδείσῳ, καὶ ῥήματα ἀκούσας τὰ ἄῤῥητα καὶ θεῖα, ἃ οὐκ ἐξὸν γλώσσαις λαλεῖν, τί τοῖς Γαλάταις γράφει, ὡς ἐρασταὶ τῶν Γραφῶν, ἀνέγνωτε, καὶ ἔγνωτε, ἐμοὶ φησὶ καυχᾶσθαι μὴ γένοιτο, πλὴν εἰ μὴ ἐν μόνῳ τῷ Σταυρῷ τῷ τοῦ Κυρίου, ἐν ᾧ παθὼν ἔκτεινε τὰ πάθη· αὐτὸν οὖν καὶ ἡμεῖς βεβαίως κρατῶμεν τοῦ Κυρίου τὸν Σταυρὸν καύχημα πάντες. Ἔστι γὰρ σωτήριον ἡμῖν τοῦτο τὸ ξύλον, ὅπλον εἰρήνης, ἀήττητον τρόπαιον.

Τῷ αὐτῷ Μηνὶ, ΙΔ'. Ἡ παγκόσμιος Ὕψωσις τοῦ Τιμίου καὶ Ζωοποιοῦ Σταυροῦ.



ςχ. Τὰς ἐν λάρυγγι Σῶτερ ὑψώσεις φέρει,
Ὑψούμενον βλέπουσα τὸν Σταυρὸν Κτίσις
Ὑψώθη δεκάτη, Σταυροῦ ξύλον ἠδὲ τετάρτη.

Κωνσταντῖνος ὁ Μέγας καὶ πρῶτος ἐν Χριστιανοῖς Βασιλεὺς εἶχέ ποτε πόλεμον, ὡς μέν τινες λέγουσι, τῶν τὰς ἱςορίας συγγραψαμένων, ἐν τῇ Ῥώμῃ κατὰ Μαγνεντίου, πρὸ τοῦ κρατῆσαι τῆς Βασιλείας. Ὡς δὲ ἕτεροι, εἰς τὸν Δάνουβιν ποταμὸν κατὰ τῶν Σκυθῶν. Ὁρῶν δὲ τὴν τῶν ἐναντίων πληθὺν ὑπὲρ τὸν οἰκεῖον οὖσαν στρατὸν, ἀπορίᾳ καὶ φόβῳ συνείχετο. Οὕτως οὖν ἔχοντι, τύποις αὐτῷ Σταυρικὸς μεσούσης ἡμέρας ἐφάνη κατ' Οὐρανὸν δι' ἀστέρων, καὶ γραφὴ περὶ τὸν Σταυρὸν Ῥωμαϊκοῖς στοιχείοις, καὶ αὐτοῖς δι' ἀστέρων τυπουμένοις, καὶ φράζουσιν. Ἐν τούτῳ νίκα. Ἐκ χρυσοῦ τοίνυν σχεδιάσας αὐτίκα Σταυρὸν κατὰ τὸν φανέντα τύπον αὐτῷ, καὶ τοῦτον κελεύσας τῆς στρατιᾶς αὐτοῦ προπορεύεσθαι, τοῖς ἐναντίοις συῤῥήγνυται, καὶ ὑπερτερεῖ, ὡς τοὺς πλείους ἐκείνων ἀναιρεθῆναι, τοὺς δὲ λοιποὺς, φυγὴν ἀπιδεῖν. Ἐντεῦθεν τὴν τοῦ ἐν αὐτῷ Σταυρωθέντος δύναμιν ἐννοήσας, καὶ τοῦτον μόνον ἀληθῆ πιστεύσας Θεὸν, καὶ τῷ εἰς τοῦτον Βαπτίσματι τειχισθεὶς μετὰ τῆς οἰκείας Μητρὸς, εἰς Ἱεροσόλυμα ταύτην ἐκπέμπει, εὑρεῖν τὸν Σταυρὸν τοῦ Χριστοῦ. Ἥτις καὶ εὗρεν αὐτὸν κεκρυμμένον, καὶ τοὺς ἑτέρους δύο Σταυροὺς, εἰς οὓς οἱ Λῃσταὶ ἐσταυρώθησαν· ἀλλὰ δὴ καὶ τοὺς Ἥλους. Διαπορούσης δὲ τῆς Βασιλίσσης, τίς ἂν εἴη ὁ τοῦ Κυρίου Σταυρὸς, διὰ τῆς εἰς θανοῦσαν γυναῖκα χήραν θαυματουργίας δείκνυται· ἢ καὶ ἀνέστη τῇ τούτου προσψαύσει. Τῶν δὲ λοιπῶν δύο Σταυρῶν τῶν Λῃστῶν μηδὲν εἰς τοῦτ' ἐνδειξαμένων εἰς θαυματοποιίας ὑπόδειγμα. Ὃν δῆτα Τίμιον Σταυρὸν προσεκύνησεν ἡ Βασίλισσα, καὶ ἠσπάσατο μετὰ τῆς Συγκλήτου ἁπάσης. Ζητῶν δὲ καὶ ὁ κοινὸς λαὸς προσκυνῆσαι, οὐκ ἠδύνατο, καὶ ᾐτήσαντο κἂν ἰδεῖν αὐτόν. Τότε ἀνῆλθεν ὁ Μακάριος Πατριάρχης Ἱεροσολύμων, καὶ ὕψωσεν ἐπὶ τοῦ Ἄμβωνος τὸν Τίμιον Σταυρὸν, καὶ ἰδόντες, ἤρξατο ὁ λαὸς κράζειν τὸ, Κύριε ἐλέησον. Καὶ ἔκτοτε ἐπεκράτησεν ἡ τιμία Ἑορτὴ τῆς Ὑψώσεως.

Τῇ αὐτῇ ἡμέρᾳ, ἡ Κοίμησις τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Ἰωάννου Ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ Χρυσοστόμου. Ἐν ταύτῃ γὰρ ἀνεπαύσατο, ἀλλὰ διὰ τὴν Ἑορτὴν τοῦ Τιμίου Σταυροῦ, μετετέθη ἡ τούτου Ἑορτὴ, εἰς τὸν Νοέμβριον Μῆνα.

Καὶ μνήμη τῆς Εὐσεβεστάτης Βασιλίσσης Πλακίλλης, συζύγου γενομένης τοῦ μεγάλου Βασιλέως Θεοδοσίου.

ςχ. Φθαρτὸν λιποῦσα στέμμα γῆς ἡ Πλακίλλα.
Ἐν οὐρανοῖς ἄφθαρτον εὗρηκε στέφος.

Αὕτη πάντα τὸν τῆς ζωῆς χρόνον ἐν εὐσεβείᾳ καὶ τῇ τῶν νοσούντων ἐπιμελείᾳ διανύσασα, πρὸς Κύριον ἐξεδήμησεν ἔτει σωτηρίῳ 400.

Τῇ αὐτῇ ἡμέρᾳ.

Μνήμη τῶν ἐν Ἁγίοις Πατέρων ἡμῶν, τῶν συνελθόντων ἐν τῇ Ἁγίᾳ καὶ Οἰκουμενικῇ Ἕκτῃ Συνόδῳ ἐπὶ τῆς Βασιλείας Κωνσταντίνου τοῦ Πογωνάτου, υἱοῦ Ἰουστινιανοῦ τοῦ μικροῦ, τοῦ ῥινοτμήτου, Σεργίου τὴν Ἐκκλησίαν Κωνσταντινουπόλεως ἰθύνοντος, καὶ Ἀγάθωνος τὴν Ῥωμαίων. Ἠθροίσθη δὲ ἐν τῷ Τρούλλῳ τοῦ Παλατίου τῷ λεγομένῳ Ὠάτῳ, ἀναθέματι καθυποβαλοῦσα, Σέργιον καὶ Πύῤῥον, καὶ Πέτρον, καὶ Παῦλον, Ἐπισκόπους γενομένους Κωνσταντινουπόλεως, Μακρόβιόν τε τὸν Ἀντιοχείας, καὶ Κῦρον τὸν Ἀλεξανδρείας καὶ Ὀνώριον τὸν Ῥώμης, Στέφανόν τε καὶ Πολυχρόνιον καὶ τοὺς σὺν αὐτοῖς. Ἥτις ἁγία Σύνοδος, ἐπὶ μὲν τοῦ δηλωθέντος Κωνσταντίνου τοῦ Παγωνάτου, συνηθροίσθη· ἡ δὲ τῶν Κανόνων ἔκδοσις, ἐπὶ Ἰουστινιανοῦ τοῦ Υἱοῦ αὐτοῦ γέγονε.

Τῇ αὐτῇ ἡμέρᾳ, τοῦ Ἁγίου Μάρτυρος Πάπα.

ςχ. Ἠδεῖτο Πάπας πρὸς τὰ στίγματα στένειν,
Βοηθὸν ἐγγὺς τὸν Θεὸν κεκτημένος

Οὗτος ἦν ἐπὶ τῆς Βασιλείας Μαξιμιανοῦ καὶ Μάγνου Ἡγεμόνος, πόλεως Λαρανδρῶν, τῆς Λυκαόνων Ἐπαρχίας. Ὁ δὲ τρόπος τῆς αὐτοῦ μαρτυρίας, ποικίλος· πληγαὶ καὶ συντριβαὶ σιαγόνων, ἀναρτήσεις, σιδηρῶν ὀνύχων ξεσμοί, καρπίδων σιδηρῶν καθηλώσεις, καὶ τρέχειν ἐν τούτοις ἔμπροσθεν ἵππων ἀναγκασθείς, παρέδωκε τὴν ψυχὴν τῷ Κυρίῳ.

Τῇ αὐτῇ ἡμέρᾳ, ὁ Ἅγιος Μάρτυς Θεοκλῆς, ξίφει τελειοῦται.

ςχ. Πρὸς κλῆσιν ἥκει καὶ Θεοκλῆς τὴν ἄνω,
Ἔχων ὄχημα τὴν τομὴν τὴν ἐκ ξίφους.

Τῇ αὐτῇ ἡμέρᾳ, ὁ Ἅγιος Βαλεριανὸς τὸ νήπιον ξίφει τελειοῦται.

ςχ. Βαλεριανῷ τῷ μικρῷ Θεὸς μέγας.
Ἐν Οὐρανῷ δέδωκε πάμμεγα στέφος.
Ταῖς αὐτῶν Ἁγίαις πρεσβείαις.

Ὠδή, ζ'. Ὁ Εἱρμός.

»Ἔκνοον πρόσταγμα Τυράννου, δυσσεβοῦς λαοὺς
»ἐκλόνησε, πνέον ἀπειλῆς καὶ δυσφημίας θεοστυ-
»γοῦς· ὅμως τρεῖς Παῖδας οὐκ ἐδειμάτωσε θυμὸς θηριώ-
»δης, οὐ πῦρ βρόμιον. Ἀλλ' ἀντηχοῦντι δροσοβόλῳ



»πνεύματι, πυρὶ συνόντες ἔψαλλον, ὁ Ὑπερύμνητος, τῶν
»πατέρων καὶ ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Ξύλου γευσάμενος ὁ πρῶτος, ἐν βροτοῖς φθορᾷ παρῴκησε. Ῥίψιν γὰρ ζωῆς ἀτιμοτάτην κατακριθείς, ὅλῳ τῷ γένει σωματοφθόρος τις, ὡς λύμη τῆς νόσου μετέδωκεν. Ἀλλ' εὑρηκότες γηγενεῖς ἀνάκλησιν, Σταυροῦ τὸ ξύλον κράζομεν, ὁ Ὑπερύμνητος, τῶν Πατέρων καὶ ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Ἔλυσε πρόσταγμα Θεοῦ παρακοή, καὶ ξύλον ἤνεγκε θάνατον βροτοῖς, τὸ μὴ εὐκαίρως μεταλειφθέν· ἐν ἀσφαλείᾳ τῆς ἐριτίμου δέ, ἐντεῦθεν ζωῆς τὸ ξύλον εἴργετο· ὃ νυκτιλόχου δυσθανοῦς ἠνέῳξεν, εὐγνωμοσύνη κράζοντος· ὁ Ὑπερύμνητος, τῶν Πατέρων καὶ ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Ῥάβδου προσπτύσσεται τὸ ἄκρον, Ἰωσὴφ ὁ γεννησόμενα, βλέπων Ἰσραὴλ τῆς Βασιλείας τὸ κραταιόν, ὅπως συνέξει ὁ ὑπερένδοξος, Σταυρὸς προδηλῶν· οὗτος γὰρ τοῖς Βασιλεῦσι, τροπαιοῦχον καύχημα καὶ φῶς τοῖς πίστει κράζουσιν· ὁ Ὑπερύμνητος, τῶν Πατέρων καὶ ἡμῶν, Θεὸς εὐλογητός εἶ.

Ὠδή, η'. Ὁ Εἱρμός.

»Εὐλογεῖτε Παῖδες, τῆς Τριάδος ἰσάριθμοι, Δημι-
»ουργὸν Πατέρα, Θεὸν ὑμνεῖτε, τὸν συγκατα-
»βάντα Λόγον, καὶ τὸ πῦρ εἰς δρόσον μεταποιήσαντα,
»καὶ ὑπερυψοῦτε τὸ πᾶσι ζωὴν παρέχον, Πνεῦμα Πανά-
»γιον εἰς τοὺς αἰῶνας.

Ὑφουμένου ξύλου, ῥαντισθέντος ἐν αἵματι, τοῦ σαρκωθέντος Λόγου Θεοῦ, ὑμνεῖτε, αἱ τῶν Οὐρανῶν δυνάμεις βροτῶν τὴν ἀνάκλησιν ἑορτάζουσαι· λαοὶ

προσκυνεῖτε Χριστοῦ τὸν Σταυρὸν, δι' οὗ τῷ Κόσμῳ ἀνάστασις εἰς τοὺς αἰῶνας.

Γηγενεῖς παλάμαις, οἰκονόμοι τῆς χάριτος· Σταυρὸν οὗ ἐστι Χριστὸς ὁ Θεὸς ὑψοῦτε, ἱεροπρεπῶς καὶ λόγχην, Θεοῦ Λόγου σῶμα ἀντιτορήσασαν. Ἰδέτωσαν Ἔθνη πάντα τὸ σωτήριον τοῦ Θεοῦ, δοξάζοντα εἰς τοὺς αἰῶνας.

Οἱ τῇ θείᾳ ψήφῳ, προκριθέντες ἀγάλλεσθε, Χριστιανῶν πιστοὶ Βασιλεῖς· καυχᾶσθε τῷ τροπαιοφόρῳ ὅπλῳ, λαχόντες θεόθεν, Σταυρὸν τὸν Τίμιον· ἐν τούτῳ γὰρ φῦλα πολέμων, θράσος ἐπιζητοῦντα, σκεδάννυνται εἰς τοὺς αἰῶνας.

Ἡ Τιμιωτέρα οὐ στιχολογεῖται, ἀλλ' οὐδὲ ἐν τῇ ἀποδόσει· δίδονται δὲ κηρία τοῖς Ἀδελφοῖς.

Ὠδὴ, θ'. Ὁ Εἱρμός.

»Μυστικὸς εἶ Θεοτόκε, Παράδεισος ἀγεωργήτως
»βλαστήσασα Χριστὸν, ὑφ' οὗ τὸ τοῦ Σταυροῦ,
»ζωηφόρον ἐν γῇ, πεφυτούργηται δένδρον· δι' οὗ νῦν
»ὑψουμένου, προσκυνοῦντες αὐτὸν, σὲ μεγαλύνομεν.

Ἀγαλλέσθω τὰ δρυμοῦ, ξύλα σύμπαντα, ἁγιασθείσης τῆς φύσεως αὐτῶν· ὑφ' οὗπερ ἐξ ἀρχῆς ἐφυτεύθη Χριστοῦ τανυθέντος, ἐν ξύλῳ· δι' οὗ νῦν ὑψουμένου, προσκυνοῦντες αὐτὸν, σὲ μεγαλύνομεν.

Ἱερὸν ἠγέρθη κέρας θεόφροσι, τῆς κεφαλῆς τῶν ἁπάντων ὁ Σταυρὸς, ἐν ᾧ ἁμαρτωλῶν νοουμένων, συνθλῶνται τὰ κέρατα πάντα, δι' οὗ νῦν ὑψουμένου, προσκυνοῦντες αὐτὸν σὲ μεγαλύνομεν.

Εἱρμὸς ἄλλος.

»Ὁ διὰ βρώσεως τοῦ ξύλου, τῷ γένει προσγενόμενος
»θάνατος, διὰ Σταυροῦ κατήργηται σήμερον· τῆς

ΑΛΕΞ. ΓΕΝΝΑΔΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ... ΓΡΗΓΟΡΗΣ ΠΑΠΑΣ...

Μεγαλυνάρια τοῦ Σταυροῦ εἰς τὴν θ'. ᾠδήν.

Σταυρὲ Χριστοῦ ἡ δόξα μαρτύρων [illegible] τῶν δικαίων. — Μυστικὸς εἶ Θεοτόκε.

Σταυρὲ Χριστοῦ τὸ ξύλον τὸ [illegible], [illegible] ἀθανασίας μετέχομεν οἱ πάντες. Μυστικὸς εἶ Θεοτ.

Σταυρὲ Χριστοῦ σημαία [illegible] — Ἀγαλλέσθω τὰ δρυμοῦ.

Σταυρὲ Χριστοῦ ἡ θύρα τῆς θείας εὐφροσύνης [illegible] εἰσῆλθε [illegible] σοὶ θαρροῦντες — Ἱερὸν.

Σταυρὲ Χριστοῦ [illegible] ἄρσενα [illegible] πάλαι τοῖς ὀρθοδόξοις. Ὁ διὰ βρώσεως.

Σταυρὲ [illegible] τὸ θεῖον [illegible] τρυφῶμεν πάντες [illegible] Ἐδὲμ παράδεισος. — [illegible] παρθέν—

Σταυρὲ Χριστοῦ τὸ σκῆπτρον τῶν [illegible] βασιλέων. — [illegible]

Σταυρὲ Ἀγγέλων δόξα, δαιμόνων καθαίρεσις [illegible] ἡ σωτηρία.

Σταυρὲ Χριστοῦ ὁ κόσμος [illegible] κόσμου, [illegible]

Σταυρὲ [illegible] λαῷ ἡ σωτηρία. Δόξα.

Πάτερ Υἱὲ καὶ Πνεῦμα Τριὰς ἡ ἁγία [illegible] προσκυνεῖται Σταυρῷ τοῦ [illegible] Ἀδιαιρέτως [illegible] Καὶ νῦν. Παναμώμητε παρθένε, [illegible] Τριάδα [illegible] προσκυνεῖται Σταυρῷ τοῦ [illegible] Υἱοῦ.

[illegible]

»γὰρ Προμήτορος ἡ παγγενὴς κατάρα διαλέλυται, τῷ »βλαστῷ τῆς Ἁγνῆς Θεομήτορος· ἣν πᾶσαι αἱ δυνά- »μεις, τῶν Οὐρανῶν μεγαλύνουσι.

Μὴ τὴν πικρίαν τὴν τοῦ ξύλου, ἐάσας ἀναιρέσιμον Κύριε, διὰ Σταυροῦ τελείως ἐξήλειψας· ὅθεν καὶ ξύλον ἔλυσέ ποτε, πικρίαν ὑδάτων Μεῤῥᾶς, προτυποῦν τοῦ Σταυροῦ τὴν ἐνέργειαν· ἣν πᾶσαι αἱ δυνάμεις, τῶν Οὐρανῶν μεγαλύνουσιν.

Ἀδιαλείπτως βαπτομένους, τῷ ζόφῳ τοῦ προπάτορος Κύριε, διὰ Σταυροῦ ἀνύψωσας σήμερον· ὡς γὰρ τῇ πλάνῃ ἄγαν ἀκρατῶς, ἡ φύσις προκατηνέχθη, παγκλήρως ἡμᾶς πάλιν ἀνώρθωσε, τὸ φῶς τὸ τοῦ Σταυροῦ σου, ὃν οἱ πιστοὶ μεγαλύνομεν.

Ἵνα τὸν τύπον ἀποδείξῃς, τῷ Κόσμῳ Προσκυνούμενον Κύριε, τὸν τοῦ Σταυροῦ ἐν πᾶσιν ὡς ἔνδοξον, ἐν Οὐρανῷ ἐμόρφωσας, φωτὶ ἀπλέτῳ ἠγλαϊσμένον, Βασιλεῖ πανοπλίαν ἀήττητον· διό σε αἱ δυνάμεις τῶν Οὐρανῶν μεγαλύνουσιν.

Ἐξαποστειλάριον.

Τῶν μαθητῶν οὐρανόθεν. λέγεται δίς.

Σταυρὸς ὁ φύλαξ πάσης τῆς οἰκουμένης. Σταυρὸς ἡ ὡραιότης τῆς Ἐκκλησίας. Σταυρὸς Βασιλέων τὸ κραταίωμα. Σταυρὸς πιστῶν τὸ στήριγμα. Σταυρὸς Ἀγγέλων ἡ δόξα, καὶ τῶν δαιμόνων τὸ τραῦμα.

Ἕτερον Ἐξαποστειλάριον, ὃ λέγεται ἅπαξ, πρὸς

Γυναῖκες ἀκουτίσθητε.

Σταυρὸς ὑψοῦται σήμερον, καὶ Κόσμος ἁγιάζεται· ὁ γὰρ Πατρὶ συνεδρεύων, καὶ Πνεύματι τῷ Ἁγίῳ, ἐν τούτῳ χεῖρας ἁπλώσας, τὸν Κόσμον ὅλον εἵλκυσας,

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

πρὸς σὴν Χριστὲ ἐπίγνωσιν· τοὺς οὖν εἰς σὲ πεποιθότας, θείας ἀξίωσον δόξης.

Εἰς τοὺς Αἴνους. Πᾶσα πνοή, ἱστῶμεν στιχ. δ'. καὶ ψάλλομεν στιχ. προσόμοια ἦχος πλ. δ'.

Ὢ τοῦ παραδόξου θαύματος.

Ὢ τοῦ παραδόξου θαύματος, τὸ ζωηφόρον φυτόν, ὁ Σταυρὸς ὁ Πανάγιος, εἰς ὕψος αἰρόμενος, ἐμφανίζεται σήμερον· δοξολογοῦσι πάντα τὰ πέρατα· ἐκδειματοῦνται δαίμονες ἅπαντες· ὢ οἷον δώρημα, τοῖς βροτοῖς κεχάρισται, δι' οὗ Χριστέ, σῶσον τὰς ψυχὰς ἡμῶν, ὡς μόνος εὔσπλαγχνος. Δίς. Ὅμοιον.

Ὢ τοῦ παραδόξου θαύματος, ὡς βότρυν πλήρης ζωῆς, ὁ βαστάσας τὸν Ὕψιστον, ἀπὸ γῆς ὑψούμενος, Σταυρὸς ὁρᾶται σήμερον· δι' οὗ πρὸς Θεόν, πάντες εἱλκύσθημεν, καὶ κατεπόθη εἰς τέλος θάνατος· ὢ Ξύλον Ἄχραντον, ὑφ' οὗ ἀπελάβομεν τῆς ἐν Ἐδέμ, ἀθανάτου βρώσεως, Χριστὸν δοξάζοντες. Ὅμοιον.

Ὢ τοῦ παραδόξου θαύματος, εὖρος καὶ μῆκος Σταυροῦ, Οὐρανοῦ ἰσοστάσιον, ὅτι θείᾳ χάριτι, ἁγιάζει τὰ σύμπαντα· ἐν τούτῳ ἔθνη βάρβαρα ἡττῆνται, ἐν τούτῳ σκῆπτρα Ἀνάκτων ἥδρασται· ὢ θείας Κλίμακος, δι' ἧς ἀνατρέχομεν εἰς Οὐρανούς, ὑψοῦντες ἐν ᾄσμασι, Χριστὸν τὸν Κύριον. Δόξα, καὶ νῦν, ἦχος πλ. β'.

Σήμερον προέρχεται ὁ Σταυρὸς τοῦ Κυρίου, καὶ πιστοὶ εἰσδέχονται αὐτὸν ἐκ πόθου, καὶ λαμβάνουσιν ἰάματα ψυχῆς τε καὶ σώματος, καὶ πάσης μαλακίας· αὐτὸν ἀσπασώμεθα τῇ χαρᾷ καὶ τῷ φόβῳ· φόβῳ διὰ τὴν ἁμαρτίαν, ὡς ἀνάξιοι ὄντες· χαρᾷ δὲ διὰ τὴν σωτηρίαν, ἣν παρέχει τῷ Κόσμῳ, ὁ ἐν αὐτῷ προσπαγεὶς Χριστὸς ὁ Κύριος, ὁ ἔχων τὸ μέγα ἔλεος.



Δοξολογία μεγάλη.

Ψαλλομένης δὲ τῆς μεγάλης Δοξολογίας, ἀλλάσσει ὁ Ἱερεὺς πᾶσαν τὴν ἱερατικὴν στολήν, καὶ εἰσέρχεται μετὰ τοῦ Θυμιατοῦ ἐν τῇ ἁγίᾳ Τραπέζῃ, καὶ θυμιῶν τὸν Τίμιον Σταυρὸν σταυροειδῶς, αἴρει αὐτὸν μετὰ δίσκου ἐπὶ τῆς κεφαλῆς, καὶ προπορευομένων δύο λαμπάδων, φέρει αὐτὸν μέχρι τῶν Βασιλικῶν πυλῶν τοῦ Ναοῦ, κἀκεῖσε ἵσταται. Καὶ πληρουμένης τῆς Δοξολογίας, καὶ τοῦ Τρισαγίου, λέγει ὁ Ἱερεὺς μεγαλοφώνως. Σοφία ὀρθῆ. Καὶ ἀρχόμεθα τοῦ Τροπαρίου. Σῶσον Κύριε τὸν λαόν σου. Καὶ οὕτως εἰσοδεύει μετὰ τοῦ Τιμίου Σταυροῦ. Καὶ ὄντος εὐτρεπισμένου τετραποδίου, τίθεται ὁ Τίμιος Σταυρὸς ἐπάνω, καὶ θυμιᾷ σταυροειδῶς ὁ Ἱερεύς.

Εἶθ' οὕτω βαλὼν μετανοίας τρεῖς, κἂν ὁποίᾳ καὶ ἔστιν ἡμέρᾳ.
Καὶ λαβὼν ἐπὶ χεῖρας τὸν Τίμιον Σταυρὸν γυμνὸν μετὰ Βασιλικῶν κλάδων, ἵσταται ἔμπροσθεν τοῦ Τετραποδίου, βλέπων κατὰ Ἀνατολάς· καὶ λέγει εἰς ἐπήκοον πάντων,

Ἐλέησον ἡμᾶς ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον, καὶ ἐλέησον.

Καὶ ἀρχόμεθα τῆς πρώτης ἑκατοντάδος τοῦ Κύριε ἐλέησον. Σφραγίζοντος τοῦ Ἱερέως ἐν ταῖς ἐνάρξεσι μετὰ τοῦ Τιμίου Σραυροῦ, τρίς.

Εἶτα κλίνει τὴν κεφαλήν, ὅσον σπιθαμὴν ἀπέχειν τῆς γῆς.
Καὶ κατὰ μικρὸν ἀνίσταται ἄχρι τῆς συμπληρώσεως τῆς ἑκατοντάδος.
Ἡνίκα δὲ φθάσει εἰς τὸ ἐννενηκοστὸν ἕβδομον Κύριε ἐλέησον, ὑψοῖ τὴν φωνὴν ὁ Ἐκκλησιάρχης· καὶ αἰσθόμενος ὁ Ἱερεὺς τέλος λαμβάνειν τὴν ἑκατοντάδα, σφραγίζει πάλιν τρίς.
Εἶτα στραφεὶς ἐπὶ τὸ νότιον μέρος, λέγει,

Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβεστάτων καὶ θεοφυλάκτων Βασιλέων ἡμῶν, κράτους, νίκης, διαμονῆς, εἰρήνης, ὑγείας, σωτηρίας αὐτῶν, καὶ τοῦ Κύριον τὸν Θεὸν ἡμῶν ἐπιπλέον συνεργῆσαι, κατευοδῶσαι αὐτοὺς ἐν πᾶσι, καὶ ὑποτάξαι ὑπὸ τοὺς πόδας αὐτῶν, πάντα ἐχθρὸν καὶ πολέμιον.

Καὶ ἀρχόμεθα τῆς δευτέρας ἑκατοντάδος· καὶ ποιεῖ ὁ Ἱερεὺς τὴν δευτέραν ὕψωσιν, ὡς προγέγραπται.
Εἶθ' οὕτω στραφεὶς ἐπὶ δυσμάς, λέγει,

Ἔτι δεόμεθα ὑπὲρ ἀφέσεως τῶν ἁμαρτιῶν τοῦ δούλου τοῦ Θεοῦ,

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΑΛΕΞΑΝΔΡΟΣ Κ. ΣΤΟΡΗΣ ΠΑΠ

τοῦ πατρὸς ἡμῶν (δεῖνος, ἤγουν τοῦ Προεστῶτος) καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Καὶ ἀρχόμεθα τῆς τρίτης ἑκατοντάδος· πληρουμένης δὲ αὐτῆς, στρέφεται ὁ Ἱερεὺς ἐπὶ τὸ βόρειον μέρος, καὶ λέγει,

Ἔτι δεόμεθα ὑπὲρ πάσης ψυχῆς Χριστιανῶν, ὑγείας, καὶ σωτηρίας, ἀφέσεως τῶν ἁμαρτιῶν αὐτῶν.

Καὶ γίνεται ἡ τετάρτη ὕψωσις, καὶ αὖθις στρέφεται κατὰ Ἀνατολὰς, καὶ λέγει,

Ἔτι δεόμεθα ὑπὲρ πάντων τῶν διακονούντων καὶ διακονησάντων ἐν τῇ ἁγίᾳ Μονῇ ταύτῃ, ὑγείας, σωτηρίας, καὶ ἀφέσεως τῶν ἁμαρτιῶν αὐτῶν.

Καὶ ἀρχόμεθα τῆς πέμπτης ἑκατοντάδος. Μετὰ δὲ τὴν πέμπτην ὕψωσιν, ψάλλομεν τὸ Κοντάκιον. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ. Εἶθ' οὕτω. Τὸν Σταυρόν σου προσκυνοῦμεν Δέσποτα, τρίς. Ψαλλόντων δὲ τῶν ἀδελφῶν, ἀποτίθησιν ὁ Ἱερεὺς τὸ Τίμιον Ξύλον ἐν τῷ Τετραποδίῳ, καὶ ἄρχονται προσκυνεῖν ὅ,τε Ἱερεὺς καὶ ὁ Προεστὼς, βάλλοντες μετανοίας, γʹ, κατενώπιον τοῦ Τιμίου Σταυροῦ, εἶται ἀσπάζονται αὐτόν. Καὶ μετὰ τὸ ἀσπάσασθαι, βάλλουσι μίαν μετάνοιαν. Εἶθ' οὕτως εἰς τοὺς χοροὺς δεξιὰ καὶ ἀριστερά. Εἶτα εἰσέρχονται οἱ ἀδελφοὶ δύο δύο, κατὰ τάξιν, καὶ προσκυνοῦσι, καὶ ἀσπάζονται ὁμοίως.

Ψάλλομεν δὲ καὶ στιχηρὰ Ἰδιόμελα, ἕως οὗ προσκυνήσουσιν οἱ Ἀδελφοί. Ἦχος βʹ.

Δεῦτε πιστοὶ, τὸ ζωοποιὸν Ξύλον προσκυνήσωμεν· ἐν ᾧ Χριστὸς ὁ Βασιλεὺς τῆς δόξης, ἑκουσίως χεῖρας ἐκτείνας, ὕψωσεν ἡμᾶς εἰς τὴν ἀρχαίαν μακαριότητα· οὓς πρὶν ὁ ἐχθρὸς, δι' ἡδονῆς συλήσας, ἐξορίστους Θεοῦ πεποίηκε. Δεῦτε πιστοὶ Ξύλον προσκυνήσωμεν, δι' οὗ ἠξιώθημεν τῶν ἀοράτων ἐχθρῶν συντρίβειν τὰς κάρας. Δεῦτε πᾶσαι αἱ πατριαὶ τῶν ἐθνῶν, τὸν Σταυρὸν τοῦ Κυρίου ὕμνοις τιμήσωμεν. Χαίροις Σταυρὲ τοῦ πεσόντος Ἀδὰμ ἡ τελεία λύτρωσις. Ἐν σοὶ οἱ πιστότατοι Βασιλεῖς ἡμῶν καυχῶνται, ὡς τῇ σῇ δυνάμει, Ἰσμαηλίτην λαὸν κραταιῶς ὑποτάττοντες. Σὲ νῦν μετὰ φόβου Χριστιανοὶ ἀσπα-



ζόμενοι, τὸν ἐν σοὶ προσπαγέντα Θεὸν δοξάζομεν λέγοντες, Κύριε ὁ ἐν αὐτῷ σταυρωθεὶς, ἐλέησον ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος. Ἦχος πλ. αʹ.

Δεῦτε λαοὶ τὸ παράδοξον θαῦμα καθορῶντες, τοῦ Σταυροῦ τὴν δύναμιν προσκυνήσωμεν· ὅτι ξύλον ἐν Παραδείσῳ θάνατον ἐβλάστησε· τὸ δὲ τὴν ζωὴν ἐξήνθησεν, ἀναμάρτητον ἔχον προσηλωμένον τὸν Κύριον· ἐξ οὗ πάντα τὰ ἔθνη, ἀφθαρσίαν τρυγῶντες κραυγάζομεν, ὁ διὰ Σταυροῦ θάνατον καταργήσας, καὶ ἡμᾶς ἐλευθερώσας, δόξασι. Ὁ αὐτός.

Ἡ φωνὴ τῶν Προφητῶν σου, Ἡσαΐου καὶ Δαυὶδ ἐπληρώθη ὁ Θεὸς ἡ λέγουσα· ἥξουσι πάντα τὰ ἔθνη Κύριε καὶ προσκυνήσουσιν ἐνώπιόν σου. Ἰδοὺ γὰρ ὁ λαὸς, ὃς τῆς σῆς ἀγαθὲ χάριτος πεπλήρωται, ἐν ταῖς αὐλαῖς σου Ἱερουσαλήμ· ὁ Σταυρὸν ὑπομείνας ὑπὲρ ἡμῶν, καὶ τῇ ἀναστάσει σου ζωοποιῶν, φύλαξον καὶ σῶσον ἡμᾶς.

Ἦχος πλ. βʹ.

Σήμερον φυτὸν τῆς ζωῆς ἐκ τῶν τῆς γῆς ἀδύτων ἀνιστάμενον, τοῦ ἐν αὐτῷ παγέντος Χριστοῦ πιστοῦται τὴν ἀνάστασιν, καὶ ἀνυψούμενον χερσὶν ἱεραῖς, τὴν αὐτοῦ πρὸς Οὐρανοὺς, καταγγέλλει ἀνύψωσιν· δι' ἧς, τὸ ἡμέτερον φύραμα, ἐκ τῆς εἰς γῆν καταπτώσεως, εἰς Οὐρανοὺς πολιτεύεται. Διὸ εὐχαρίστως βοήσωμεν, Κύριε ὁ ὑψωθεὶς ἐν αὐτῷ, καὶ δι' αὐτοῦ συνυψώσας ἡμᾶς, τῆς Οὐρανίου χαρᾶς ἀξίωσον τοὺς ὑμνοῦντάς σε. Ὁ αὐτός.

Ὁ τετραπέρατος Κόσμος, σήμερον ἁγιάζεται τοῦ τετραμεροῦς ὑψουμένου σου Σταυροῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ τὸ κέρας τῶν πιστῶν, συνυψοῦται Βασιλέων

ἡμῶν, ἐν αὐτῷ τῶν δυσμενῶν συντριβέντων τὰ κέρατα· μέγας εἶ Κύριε, καὶ θαυμαστὸς ἐν τοῖς ἔργοις σου, δόξα σοι. Ὁ αὐτός.

Σταυρὲ τοῦ Χριστοῦ, Χριστιανῶν ἡ ἐλπὶς, πεπλανημένων ὁδηγὲ, χειμαζομένων λιμὴν, ἐν πολέμοις νῖκος, Οἰκουμένης ἀσφάλεια, νοσούντων Ἰατρὲ, νεκρῶν ἡ Ἀνάστασις, ἐλέησον ἡμᾶς. Ὁ αὐτός.

Τῶν Προφητῶν αἱ φωναὶ, τὸ Ξύλον τὸ ἅγιον προκατήγγειλαν, δι' οὗ τῆς ἀρχαίας ἠλευθερώθη κατάρας, τῆς τοῦ θανάτου ὁ Ἀδάμ· ἡ δὲ Κτίσις σήμερον, ὑψουμένου τούτου, συνυψοῖ τὴν φωνὴν, τὸ ἐκ Θεοῦ αἰτουμένη πλούσιον ἔλεος. Ἀλλ' ὁ μόνος ἐν ἐλέει, ἀμέτρητος Δέσποτα, ἱλασμὸς γενοῦ ἡμῖν, καὶ σῶσον τὰς ψυχὰς ἡμῶν. Δόξα, καὶ νῦν, ἦχος πλ. δ'.

Ἡ φωνὴ τοῦ Προφήτου σου, Μωϋσέως ὁ Θεὸς, πεπλήρωται ἡ λέγουσα, ὄψεσθε τὴν ζωὴν ἡμῶν κρεμαμένην ἀπέναντι τῶν ὀφθαλμῶν ἡμῶν. Σήμερον Σταυρὸς ὑψοῦται, καὶ Κόσμος ἐκ πλάνης ἠλευθέρωται· σήμερον τοῦ Χριστοῦ ἡ Ἀνάστασις ἐγκαινίζεται, καὶ τὰ πέρατα τῆς γῆς ἀγάλλονται, ἐν κυμβάλοις Δαβιτικοῖς ὕμνον σοι προσφέροντα, καὶ λέγοντα· εἰργάσω σωτηρίαν ἐν μέσῳ τῆς γῆς Χριστὲ ὁ Θεὸς, Σταυρὸν καὶ τὴν Ἀνάστασιν· δι' ὧν ἡμᾶς ἔσωσας, Ἀγαθὲ καὶ Φιλάνθρωπε, Παντοδύναμε Κύριε, δόξα σοι.

Καὶ μετὰ τὸ προσκυνῆσαι πάντας λέγει, ὁ Ἱερεὺς, Σοφία.

Καὶ ἀπόλυσις.

Εἰς τὴν Λειτουργίαν. Ἀντίφωνα.

Ἀντίφωνον ά. ἦχος ά.

Ὁ Θεὸς ὁ Θεός μου πρόσχες μοι, ἵνα τί ἐγκατέλιπές με;

Ταῖς πρεσβείαις τῆς Θεοτόκου Σῶτερ σῶσον ἡμᾶς.



Μακρὰν ἀπὸ τῆς σωτηρίας μου οἱ λόγοι τῶν παραπτωμάτων μου.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου Σῶτερ σῶσον ἡμᾶς.

Ὁ Θεός μου κεκράξομαι ἡμέρας, καὶ οὐκ εἰσακούσῃ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου Σῶτερ σῶσον ἡμᾶς.

Σὺ δὲ ἐν Ἁγίῳ κατοικεῖς, ὁ ἔπαινος τοῦ Ἰσραήλ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου Σῶτερ σῶσον ἡμᾶς.

Δόξα. καὶ νῦν. Ταῖς πρεσβείαις τῆς Θεοτόκου.

Ἀντίφωνον β'. ἦχος β'.

Ἵνα τί ὁ Θεὸς ἀπώσω εἰς τέλος;

Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ Σαρκὶ σταυρωθεὶς, ψάλλοντάς σοι, Ἀλληλούϊα.

Μνήσθητι τῆς Συναγωγῆς σου, ἧς ἐκτήσω ἀπ' ἀρχῆς.

Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ Σαρκὶ. κ. τ. λ.

Ὄρος Σιὼν τοῦτο, ὃ κατεσκήνωσας ἐν αὐτῷ.

Σῶσον, ἡμᾶς Υἱὲ Θεοῦ, ὁ Σαρκὶ.

Ὁ δὲ Θεὸς Βασιλεὺς ἡμῶν πρὸ αἰώνων εἰργάσατο Σωτηρίαν ἐν μέσῳ τῆς γῆς.

Σῶσον, ἡμᾶς Υἱὲ Θεοῦ, ὁ Σαρκὶ.

Δόξα. καὶ νῦν.

Ὁ μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ, κ. τ. λ.

Ἀντίφωνον γ'. ἦχος ά.

Ὁ Κύριος ἐβασίλευσεν, ὀργιζέσθωσαν λαοί.

Σῶσον Κύριε τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου· νίκας τοῖς Βασιλεῦσι κατὰ Βαρβάρων δωρούμενος· καὶ τὸ σὸν φυλάττων, διὰ τοῦ Σταυροῦ σου πολίτευμα.

Κύριος ἐν Σιὼν μέγας, καὶ ὑψηλὸς ἐστί.

Σῶσον Κύριε τὸν λαόν σου, κ. τ. λ.

Ἐξομολογησάσθωσαν τῷ ὀνόματί σου τῷ μεγάλῳ.

Σῶσον Κύριε τὸν λαόν σου,

Εἰσοδικόν.

Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν, καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ, ὅτι ἅγιός ἐστι,

Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ Σαρκὶ σταυρωθεὶς ψάλλοντάς σοι, Ἀλληλούϊα.

Σῶσον Κύριε τὸν λαόν σου. κ. τ. λ.

Καὶ τὸ Κοντάκιον ἦχος δ'.

Ὁ Ὑψωθεὶς ἐν τῷ Σταυρῷ ἑκουσίως, τῇ ἐπωνύμῳ σου καινῇ πολιτείᾳ, τοὺς οἰκτιρμούς σου δώρησαι Χριστὲ ὁ Θεός, εὔφρανον ἐν τῇ δυνάμει σου, τοὺς πιστοὺς Βασιλεῖς ἡμῶν, νίκας χορηγῶν αὐτοῖς, κατὰ τῶν πολεμίων· τὴν συμμαχίαν ἔχοιεν τὴν σήν, ὅπλον εἰρήνης, ἀήττητον τρόπαιον.

Ἀντὶ δὲ τοῦ Τρισαγίου.

Τὸν Σταυρόν σου προσκυνοῦμεν Δέσποτα, καὶ τὴν ἁγίαν σου Ἀνάστασιν δοξάζομεν.

Προκείμενον τοῦ Ἀποστόλου ἦχος βαρύς.

Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν.

Ὁ Κύριος ἐβασίλευσεν ὀργιζέσθωσαν λαοί.

Πρὸς Κορινθίους ά. Ἐπιστολῆς, Παύλου τὸ ἀνάγνωσμα

Ἀδελφοὶ ὁ λόγος ὁ τοῦ Σταυροῦ κτλ.

Εὐαγγέλιον ἐκ τοῦ κατὰ Ἰωάννην

Συμβούλιον ἐποίησαν κτλ.

Κοινωνικόν.

Μεγαλυνάριον Ἐσημειώθη ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου Κύριε.

Τοῦ Σταυροῦ τὸ ξύλον πάντες πιστοί, λατρεύσωμεν πόθῳ [illegible] περιχαρῶς, Σταυρὸς γὰρ [illegible] τὴν [illegible] τοῦ [illegible] ἔσωσε τὰς [illegible] προσκυνοῦντας αὐτόν.

ΤΕΛΟΣ.